E.

Oeuvres apologétiques.

I.

Apologétique à l'adresse des Musulmans.

1.

La seule voie du salut.*

Pantocr. 127 f. 48 † Γενναδίου μοναχοῦ καὶ πατριάρχου τῶν τοῦ Χριστοῦ πενήτων τοῦ κατὰ κόσμον Σχολαρίου· περὶ τῆς μόνης ὁδοῦ πρὸς τὴν σωτηρίαν τῶν ἀνθρώπων. Συνεγράφη δὲ καὶ ἀρραβικῶς ἡρμηνεύθη, καὶ ἐδόθη ζητήσασι, μετὰ τὰς διαλέξεις ἐν τῷ πατριαρχείῳ τὰς δευτέρας. —

1. Ἡ ὁδὸς τῆς τῶν ἀνθρώπων σωτηρίας πρὸς τὸ προκείμενον αὐτοῖς αἰώνιον τέλος κατὰ μὲν τὰ ἔργα διάφορος εἶναι δύναται, τῷ κατὰ λόγον μέντοι γε καὶ νόμον κανόνι πασῶν ἐξομοιοῦσθαι ὀφειλουσῶν· καὶ διὰ τοῦτο, ἄλλου ἄλλην αἱρουμένου ὁδὸν τῆς κατὰ λόγον ζωῆς, διότι ἀδύνατον τὴν ἀνθρωπίνην ἀσθένειαν ἐξαρκέσαι ἂν πρὸς πᾶσαν ὁδὸν ἀρετῆς, ἢ διὰ τὰς ἀνάγκας τῆς ἀνθρωπίνης ζωῆς, ἢ καὶ δι' ἄλλας αἰτίας, πάντες ὅμως τῆς σωτηρίας ἐπιτυγχάνουσι καὶ τοῦ τέλους, τό γε τῶν ἔργων μέρος· κατὰ

---

* C = Pantocratorinus 127, f. 38-49, copie autographe de Scholarios;
B = Parisinus 1294, f. 50-61, copie autographe de Scholarios;
A = Parisinus 1289, f. 118-128ᵛ, copie autographe de Scholarios, antérieure aux deux précédentes;
D = Metochii Sancti Sepulcri Constant., 35, XVIIe s., p. 247-266;
E = Édition de Chrestos Papaioannou d'après le cod. Metoch. S. Sepulcri 35, dans l'*Ἐκκλησιαστικὴ Ἀλήθεια*, t. XVI (1896), p. 203-206, 210-212, 219-222, 227-229;
I = Iberitanus Athonensis 288, XVIe s., f. 823ᵛ-826 (nouvelle numérotation).

Les variantes de D E I ne sont signalées que lorsqu'elles s'accordent avec l'un des autographes. Les autres ne présentent aucun intérêt et proviennent pour la plupart des fausses lectures.

Tit. Le titre donné est celui de B. Pour le titre dans A et C, cf. t. I, p. XVIII et XXXI. *† Γενναδίου μοναχοῦ καὶ πατριάρχου τῶν τοῦ Χριστοῦ πενήτων· περὶ*

---

6 *προοίμιον* en marge add AB

δὲ τὴν πίστιν μία ἐστὶ καὶ μόνη. Καὶ διὰ τοῦτο δεῖ τοὺς ἀνθρώπους προὔργου ζητεῖν τίς ἂν εἴη αὕτη ἡ μόνη τῆς σωτηρίας ὁδός, ἐπειδὴ ἄνευ τῆς τοιαύτης ὁδοῦ ἀδύνατον πρὸς τὸ τέλος ἐλθεῖν, ὅπερ ἐστὶν ἡ ἄμεσος τοῦ Θεοῦ ἐπίτευξις καὶ γνῶσις, ἐν ᾗ ἡ τοῦ ἀνθρώπου εὐδαιμονία συνέστηκεν, ὁπόσον ἄν τις ἐν τῷ μέρει τῶν ἔργων εὐδοκιμήσειεν· ἄνευ γὰρ πίστεως ὀρθῆς Θεῷ ἀρέσαι ἀδύνατον. Καὶ ἐν μὲν τῇ ζωῇ ταύτῃ ὃ μέν τις ταύτην οἴεται τῆς σωτηρίας ὁδόν, ἣν καὶ εἵλετο, ὃ δὲ ἄλλην, καὶ ἄλλην ἕτερος αὖ, τῶν ὄντων ἐν τῇ τῆς σωτηρίας ὁδῷ μόνων καὶ ἀληθῶς οἰομένων ὅτι αὐτοὶ μόνοι εἰσὶν ἐν αὐτῇ, τῶν δὲ ἄλλων πλανωμένων καὶ οὐκ εἰδότων· ἡ δὲ μέλλουσα ἡμέρα ἀποκαλύψει τῷ πλάσματι τοῦ Θεοῦ παντὶ τὴν ἀλήθειαν. Ὅθεν ἐν τῷδε τῷ λόγῳ καὶ ἡμεῖς ἀποδιδόντες τὸ χρέος τῇ συνεγνωσμένῃ ἡμῖν ὁδῷ τῆς σωτηρίας, ἣν ἐλπίζομεν καὶ πεπιστεύκαμεν αὐτὴν εἶναι τὴν ζητουμένην καὶ οὐχ ἑτέραν, εἰς τὸ φανερῶσαι αὐτὴν καὶ ἄλλοις τοῖς οὔπω κατειληφόσι, διὰ βραχέος λόγου ἀποκρινόμενοι ὑμῖν ἐρωτήσασι περὶ αὐτῆς, οὕτω λέγομεν:

2. Ἅπαν πρᾶγμα διά τι τέλος ἔστιν· ὥστε καὶ ὁ ἄνθρωπος ἕνεκά του ἔστιν· παντὸς δὲ πράγματος τὸ τέλος οἰκεῖόν ἐστι καὶ ἁρμόζον τῇ αὐτοῦ φύσει· διὸ καὶ κατὰ τὰς τῶν ὄντων διαφοράς, διάφορα τὰ τέλη αὐτῶν εἰσιν. Ἐπεὶ δὲ ὁ ἄνθρωπος οὐκ ἔστι διὰ τὸ σῶμα, ἀλλὰ διὰ τὴν ψυχήν, ἡ δὲ ψυχὴ τοῦ ἀνθρώπου πνευματικόν τί ἐστι καὶ ἀσώματον καὶ πρᾶγμα διαμένον καὶ ἄφθαρτον, εὐλόγως διὰ τοῦτο | καὶ τὸ τοῦ ἀνθρώπου f. 3
τέλος πνευματικόν τί ἐστι καὶ αἰώνιον ἀγαθόν· τοῦτο δέ ἐστιν ἡ ἀπόλαυσις, ὡς εἴρηται, τοῦ Θεοῦ, διότι αὐτός ἐστι τὸ αἰώνιον καὶ ἔσχατον ἀγαθόν. Καὶ τούτου δυνατόν ἐστι τὸν ἄνθρωπον ἀπολαύειν κατὰ τὸν νοῦν· ὁ γὰρ νοῦς ὑπάρχων ἄκρα δύναμις ἐν ἀνθρώπου ψυχῇ, γνωριστικός ἐστι φύσει τοῦ ἄκρου νοητοῦ, ὅπερ ἐστὶν ὁ Θεός, αὐτὸς ὢν καὶ τὸ ἄκρον,

---

τῆς — ἀνθρώπων· ἐξεδόθη δὲ τῷ σουλτάνῳ αἰτήσαντι μετὰ τὰς ἐνώπιον αὐτοῦ διαλέξεις ἐν τῷ πατριαρχείῳ τότε γεγενημένας, καὶ μετὰ τοῦτο ἄλλο συντομώτερον ἐξεδόθη. ἡρμηνεύθησαν (*ἡρμηνεύθη* E) *δὲ ἀμφότερα ἀραβικῶς καὶ οὕτως ἐδόθησαν* DE; *Γενναδίου τοῦ Σχολαρίου πρῶτον εἰς δόξαν Θεοῦ, εἶτα εἰς ὑπακοὴν τοῦ μεγάλου σουλτάνου, ὡς ἡ ἐπιγραφὴ εἶχεν* I. **Le titre que portait autrefois l'Iberitanus 386, titre ainsi conçu:** *νη. Γεναδίου πατριάρχου Κωνσταντινουπόλεως καὶ νέας Ῥώμης, τοῦ Σχολαρίου, μετὰ τὴν τῆς πατριαρχείας παραίτησιν· περὶ τῆς ὁδοῦ τῆς σωτηρίας τῶν ἀνθρώπων· δοθὲν μετὰ τὰς διαλέξεις ἔγγραφόν τε καὶ σύντομον, ἀπαιτήσασι περὶ τῆς ἡμετέρας πίστεως καὶ τῶν κεφαλαίων αὐτῆς, περὶ ὧν γέγονεν ἡ διάλεξις ἐνώπιον τοῦ σουλτάνου μετὰ τῶν διδασκάλων αὐτοῦ, ἐν τῇ μονῇ τῆς Παμμακαρίστου· συνεγράφη δέ, καὶ ἀρραβικῶς ἡρμηνεύθη, καὶ ἐδόθη αὐτοῖς,* **paraît plutôt convenir au morceau imprimé ci-après: 2.**

---

7 *οἴεται: νομίζει* ADE, om B 8 *μόνων* om ABDE 10 *τοῦ* avant *Θεοῦ* om ABDE 16-17 *ἕνεκά του ἐστιν* ABDE 20 *τοῦ ἀνθρώπου* om ABDE

ὡς εἴρηται, ἀγαθόν. Ἀδύνατον δέ ἐστι τὸν ἄνθρωπον εἰς τοῦτο τὸ τέλος ἐλθεῖν, εἰ μὴ διά τινων ἐνεργειῶν ὁμοιουμένων πως τῷ τέλει, ἐν τῷδε τῷ προσκαίρῳ βίῳ ἐνεργουμένων, διότι τὸν βίον τοῦτον χρὴ γίνεσθαι ὁδὸν ἡμῖν ἢ πρὸς τὴν ἐλπιζομένην ζωήν, τουτέστι τὴν μακαρίαν, ἢ πρὸς τὴν ἀθλιότητα, καθὼς ἂν ἐν τῷ βίῳ τούτῳ κινήσαιμεν ἑαυτούς. Ἐνέργειαι δὲ τοῦ ἀνθρώπου ὁμοιούμεναι τῷ τέλει ἐν τῇ ζωῇ ταύτῃ, καὶ διὰ τοῦτο πρὸς αὐτὸ ἄγουσαι τοὺς μέλλοντας ἀϊδίως εὐδαιμονήσειν, διπλαῖ εἰσι κατὰ τὸ γένος, δόγματα δηλονότι ἀληθῆ καὶ ἔργα ἀγαθά. Ἐπειδὴ γὰρ ὁ Θεός ἐστιν ἡ πρώτη ἀλήθεια καὶ αὐτός ἐστι τὸ ἔσχατον ἀγαθόν, τὰ μὲν ἀληθῆ δόγματα ἄγουσι τὸν ἀνθρώπινον νοῦν πρὸς τὴν πρώτην ἀλήθειαν, τὰ δὲ ἀγαθὰ ἔργα κυβερνῶσι τὴν ὄρεξιν αὐτοῦ πρὸς τὸ ἔσχατον ἀγαθόν. Ζῇ δὲ ὁ ἄνθρωπος καὶ ἐνεργεῖ πάντα δυσὶ τούτοις, νῷ δηλονότι καὶ ἐφέσει. Καὶ ἐπειδὴ προαιρετικὴν ἔχει τὴν κίνησιν, καὶ διὰ τοῦτο οἱ μὲν τῶν ἀνθρώπων κινοῦνται πρὸς τὸ τέλος ὀρθῶς κινούμενοι καὶ ἀπὸ θελήσεως ὀρθῆς οἱ δὲ μάλιστα ἀποστρέφονται ἀπ' αὐτοῦ διὰ τὸ διεστραμμένως κινεῖσθαι καὶ ἐκ διεστραμμένης θελήσεως (ἡ γὰρ θέλησίς ἐστιν ἡ κινοῦσα τὴν ὄρεξιν καὶ τὸν νοῦν, ὥσπερ τι καθόλου κινητικόν), ἔπρεπε διὰ τοῦτο δοθῆναι τῇ θελήσει τοῦ ἀνθρώπου νόμον τινά, δι' οὗ νόμου κυβερνηθείη ἂν ὀρθῶς ἡ προαιρετικὴ αὐτοῦ διαγωγὴ πρὸς τὸ τέλος. Καὶ δέδοται αὐτῷ διὰ τοῦτο ἐκ τοῦ Θεοῦ ὁ φυσικὸς πρῶτον νόμος καὶ ἄγραφος· οὗτος δέ ἐστιν ἀρχαί τινες ἐν τῷ νῷ τεθειμέναι τοῦ ἀνθρώπου ἢ τῇ ὀρέξει, ἐξ ὧν ἀρχῶν κινηθείη ἂν εἰς τὸ νοεῖν ἢ πράττειν τι φυσικῶς.

3. Ἀλλ' οὗτος ὁ νόμος οὐκ ἠδυνήθη καλῶς ἐξομοιῶσαι τὰς ἀνθρωπίνας ἐνεργείας τῷ τέλει, ὡς ἂν δυνηθῇ τυγχάνειν αὐτοῦ· οὔτε γὰρ τὸν νοῦν f. 39 ἠδυνήθη | κατευθῦναι πρὸς τὸ εὑρίσκειν καὶ νοεῖν τὸ ἀληθὲς οὔτε τὴν θέλησιν πρὸς τὸ αἱρεῖσθαι τὸ ἀγαθὸν εἰ μὴ ἐν ὀλίγοις τισὶν ἀνθρώποις καὶ ἀμυδρῶς, οἵτινες μόλις ἴσχυσαν δράξασθαι ὥσπερ εἰδώλων τινῶν τῆς ἀληθείας καὶ τοῦ καλοῦ. Καὶ ἡ τοσαύτη ἀδυναμία τοῦ φυσικοῦ νόμου προῆλθεν οὐκ ἀπ' αὐτοῦ (οὐ γὰρ εἰκῇ τοῦτον ὁ Θεὸς ἐνετίθει), ἀλλ' ἀπὸ τῆς ἐμπαθοῦς καταστάσεως τῶν ἀνθρώπων, ἣν ἔλαβον ἐνδίκως μετὰ τὴν ἁμαρτίαν εὐθύς· οὐ γὰρ οἷόν τε ἦν, τῆς θελήσεως διαστραφείσης, τὸν νοῦν ἔτι τῷ φυσικῷ φωτὶ καλῶς καταλάμπεσθαι, δύναμιν ἐχόντων ἀμφοτέρων τούτων κατορθοῦν τε ἄλληλα καὶ διαστρέφειν. Πρὸ δὲ τῆς ἁμαρτίας τοσαύτην ἂν εἶχεν ὁ φυσικὸς νόμος ἐν τῇ ψυχῇ δραστηριότητα, ὥστε δύνασθαι ἂν δι' αὐτοῦ μόνου τάξει τινὶ προχωρεῖν τὸν μὲν ἀνθρώπινον νοῦν ἐπὶ πλεῖστα τῶν ἀληθῶν, τὴν δὲ θέλησιν ἐπὶ πάντα τὰ ἀγαθά. Ὃ δὲ ὑπερέβαινε τὴν ἰσχὺν τοῦ φυσικοῦ νόμου πρὸς τὸ τελειωθῆναι τὸν ἀν-

---

16 *καὶ ἐκ διεστραμμένης θελήσεως* om DE 27 *καὶ ἀμυδρῶς* om DE
32 *καλῶς* om DE 36 *τῶν ἀληθῶν — ἐπὶ πάντα* om DE

θρωπον καὶ ἄξιον γενέσθαι τοῦ τέλους, τοῦτο προσετίθετο ἂν ἄλλῃ χάριτι τοῦ Θεοῦ ὑψηλοτέρᾳ, εἰ τὴν πρώτην χάριν ἐπεξειργάζετο ὁ ἄνθρωπος κατὰ τὸν θεῖον ἐπ᾽ αὐτῷ σκοπόν· ἀλλὰ διὰ τὴν ἁμαρτίαν ὁ φυσικὸς νόμος οὗτος καὶ ἡ φυσικὴ αὕτη πρὸς τὴν εὐδαιμονίαν καὶ πρώτη παρασκευὴ τελείως μὲν οὐκ ἐφθάρη ἐν ταῖς τῶν ἀνθρώπων καρδίαις, ἀλλὰ πολλῷ δραστηριότητος μέρει ἐχώλευεν· ὅσῳ δὲ ἐμπαθεστέρα ἐγίνετο ἡ τῶν ἀνθρώπων κατάστασις, τοῦ χρόνου προβαίνοντος, τοσούτῳ καὶ ἡ δραστηριότης τοῦ φυσικοῦ νόμου ἐσβέννυτο καὶ ἠσθένει, ὥστε νομισθῆναί ποτε ὑπὸ τῶν ἀνθρώπων ἀγαθὰ τὰ φύσει κακὰ καὶ ἀγνοηθῆναι ὑπ᾽ αὐτῶν ὅσον τῆς ἀληθείας ἠδύναντο ἂν καὶ φύσει εὑρίσκειν περὶ τῶν ὑψηλοτέρων καὶ θείων. Καὶ διὰ τοῦτο προϊόντες ἐπλανήθησαν καθάπαξ ἐκ τῆς ὁδοῦ τῆς ἀληθείας οἱ ἄνθρωποι. Ἐπίστευον γὰρ οὐκ εἰς τὸν ἕνα καὶ ἀληθῆ Θεόν, ἀλλ᾽ εἰς πλείους, καὶ ἄλλοι ἄλλους τε καὶ ἄλλως, καὶ τὸν οὐρανὸν καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἄλλους ἀστέρας καὶ τὰ στοιχεῖα θεοὺς ἐνόμιζον εἶναι καὶ προσεκύνουν. Προήχθησαν δὲ μάλιστα εἰς τὴν τοιαύτην πλάνην ἐκ τοῦ ἐπιστῆσαι τῇ κινήσει τῶν οὐρανίων σωμάτων ὡς τέλει, καὶ τὰ δι᾽ αὐτῆς ἀποτελούμενα | ἐν τοῖς ὑποκάτω καὶ πρὸς ἡμῖν πράγμασιν εἰς f. 3 τὰ οὐράνια σώματα ὥσπερ ποιητικὰς αἰτίας ἀνενεγκεῖν, ἃ δουλεύουσι μᾶλλον ὡς δοῦλα καὶ ὄργανα τῇ διηνεκεῖ περὶ πάντων προνοίᾳ τοῦ ἑνὸς καὶ μόνου Θεοῦ καὶ πάντων δημιουργοῦ· οἱ δὲ παχύτεροι ἐκείνων καὶ τὰ κατώτερα ταῦτα ἐθεοποίουν, ἃ προδήλως γεννητά εἰσι καὶ φθαρτά, ζῷά τε δηλονότι καὶ φυτά, ἄλλοι ἄλλα, κατὰ τὰς τῶν ἐν αὐτοῖς διαφόρων ἡγεμόνων ὑποτυπώσεις. Διότι δὲ οἶδεν ὁ ἄνθρωπος ἑαυτὸν ἐξ ἀνάγκης ὀφείλοντα τῷ Θεῷ λατρεύειν, καὶ οὐ δύναται τοῦτο ἀγνοῆσαι, ὁπόσον ἂν διεφθορὼς ᾖ, διὰ τοῦτο τὴν ὀφειλομένην τῷ ὑψίστῳ καὶ μόνῳ Θεῷ λατρείαν τοῖς πολλοῖς καὶ ψευδωνύμοις φέροντες ἀπεδίδοσαν ἐκεῖνοι θεοῖς αὐτῶν· καὶ διότι τὰ φαινόμενα ταῦτα σώματα ἐθεοποίουν, σωματικὰς θυσίας αὐτοῖς προσέφερον.

4. Ἐπὶ τούτοις εἴδωλα ποιοῦντες τῶν παρὰ σφίσι θεῶν, ὕστερον καὶ ταῦτα ἐθεοποίουν· τὴν ἀρχὴν μὲν γὰρ ἐπὶ μνήμῃ τῶν ἔν τινι εὐδοκιμησάντων οἱ ἀγαλματοποιοὶ ταῦτα ἐποίησαν· τῆς δὲ γνώμης ἐκείνων ἀγνοηθείσης, οἱ μετὰ ταῦτα θεοὺς τὰ ἀγάλματα ἐπωνόμασαν καὶ τοῖς αὐτῶν θεοῖς αὖθις ἀνίστασαν εἴδωλα, καὶ ναοὺς τοῖς εἰδώλοις περιέβαλον, καὶ θυσίαις αὐτὰ ἐτίμων· ἥτις δὴ εἰδωλοποιΐα ἐξ Αἰγύπτου καὶ Παλαιστίνης καὶ τῶν ἄλλων Ἀσιανῶν ἐθνῶν ἀρξαμένη, καὶ ἐν Ἑλλάδι ἐπιδέδωκεν ὕστερον, ἀπὸ Ἰωαννέως ἐκεῖθεν μετοικισθέντος καὶ τὸ Ἰωάννειον κτίσαντος,

---

13 *καὶ ἄλλοι — ἄλλως* om DE 14 *καὶ τὰ στοιχεῖα* om DE 18 *σώματα* om DE 20 *Θεοῦ καὶ* om ADE 22 *τῶν διαφόρων ἐν αὐτοῖς* ABDE 33 *περιέβαλλον* ABDE

τὸ κληθὲν ὕστερον Ἄργος. Καὶ οὐ μόνον τῇ ἀγνοίᾳ τῆς ἀληθείας ἀπὸ τῆς ὁδοῦ τῆς σωτηρίας ἐπλανῶντο, ἀλλὰ καὶ τῇ ἀγνοίᾳ τοῦ ἀγαθοῦ· ἔζων γὰρ μετὰ πάσης πονηρίας, τιθέντες τὴν εὐδαιμονίαν αὐτῶν ἐν τῇ ἀπολαύσει τῶν αἰσθητῶν ἡδονῶν καὶ τῇ ἀτάκτῳ ζωῇ, ἢ ἐν πλούτῳ καὶ τιμῇ, ὁπόσοι αὐτῶν μετριώτεροι· καὶ εἴ τινες ἐν αὐτοῖς ἐγίνοντο νομοθέται ἄλλοι ἐν ἄλλοις γῆς μέρεσιν, οἱ αὐτοὶ πάντες καὶ περὶ ἀστρολογίαν ὄντες ἐπτοημένοι, ἄλλοι ἄλλα καὶ οἰκείᾳ τῇ διαστροφῇ τῆς αὐτῶν προαιρέσεως ἐνομοθέτουν· ὡς Ἑρμῆς μὲν ἐν Αἰγύπτῳ μετὰ τὴν ἐξ Ἰταλίας φυγήν, δόκιμος μὲν ἐν μαθηματικοῖς, πανουργότατος δὲ ἄλλως, Ζωροάστρης δὲ ἐν Πέρσαις, καὶ αὐτὸς ἐν ἀστρονομίᾳ περιβόητος, Νίνου καὶ Σεμιράμιδος f. 40 υἱός, μήτηρ δὲ ἦν αὕτη Νίνου, ἀφ' ὧν | ἐγένετο Πέρσαις νόμιμον τὸ μητρογαμεῖν· ὅθεν καὶ αὐτὸς τοιαύτῃ γεννήσει σύμφωνον τὴν προαίρεσιν ἐπεδείξατο· ἄμφω δὲ ἦσαν οὗτοι τῷ Ἀβραὰμ σύγχρονοι, Ἑρμῆς δηλονότι καὶ Ζωροάστρης. Καὶ ἄλλοι μετ' αὐτοὺς παρ' Αἰγυπτίοις καὶ Πέρσαις καὶ τοῖς ἄλλοις ἔθνεσι, τὴν νομοθετικὴν ἁρπάσαντες τάξιν σὺν οὐδεμιᾷ ἀξίᾳ παρασκευῇ, οὐ μόνον τὰ περὶ τὴν θρησκείαν ἀλλὰ καὶ τὰ περὶ τὸν βίον φαυλότητος ἁπάσης γεγόνασιν ἡγεμόνες τῷ τῶν ἀνθρώπων πλήθει, πιστοὶ δοκοῦντες ἄλλως αὐτοῖς διὰ τὰς ἐκ τῆς ἀστρονομικῆς τέχνης προαγορεύσεις τῶν συνόδων καὶ τῶν ἐκλείψεων καὶ τῶν ἄλλων, ἐφ' ἃ ἡ τῆς τέχνης ἐκτείνεται δύναμις. Διὸ καὶ πονηρίας καὶ ἀσεβείας ἀπ' αὐτῶν ὁ κόσμος ἐπλήσθη, συνεργούντων τῶν πονηρῶν δαιμόνων τῇ τοιαύτῃ τῶν ἀνθρώπων διαστροφῇ διὰ μαντειῶν καὶ γοητειῶν καὶ τῶν ἄλλων ἀποστασιῶν μὲν τοῦ Θεοῦ, συνθηκῶν δὲ πρὸς τὴν δαιμονικὴν ἀποστασίαν. Καὶ οὕτως, ὡς δι' ὀλίγων δηλῶσαι, οἱ ἀρχαῖοι ἄνθρωποι ἐβίων ἐν ὅλῳ τῷ κόσμῳ τῷ περὶ γῆν πρὶν τὸν Μωσέα φανῆναι, πλὴν ὀλίγων τινῶν, ὡς εἴρηται.

5. Καὶ ὅτε δὴ ἡ τοῦ φυσικοῦ νόμου παντάπασιν ἀπεσβέσθη χρεία διὰ τὴν εἰρημένην τῆς τῶν ἀνθρώπων πονηρίας ὑπερβολήν, ἔδωκεν ὁ Θεὸς τοῖς ἀνθρώποις νόμον γραπτὸν δι' ἀνθρώπου πάσης ἀρετῆς πληρεστάτου καὶ ἀληθοῦς προφήτου, τοῦ Μωσέως, ἐφανέρωσέ τε τοῖς ἀνθρώποις σημείοις πλείστοις τε καὶ ἱκανωτάτοις, ὅτι τε προφήτης ἦν Μωσῆς καὶ αὐτῷ οἰκειότατος Θεῷ, ὡς οἷόν τε ἐν ἀνθρώποις, καὶ ὅτι ὁ νόμος ὃν ἐκόμισε τοῖς Ἰουδαίοις ἀπ' αὐτοῦ ἦν, τοῦ Θεοῦ δηλονότι, ὥστε μὴ μόνον Ἰουδαίοις τοῦτο γνωρισθῆναι καλῶς, ἀλλὰ καὶ πᾶσι σχεδὸν ἀνθρώποις. Πολλῶν δὲ ἀνθρωπίνων περὶ αὐτοῦ μαρτυριῶν οὐσῶν, ἀρκεῖ μίαν ἐν τῷ παρόντι παραστῆσαι παρὰ Διοδώρου ἱστοριογράφου, ἐν πρώτῃ τῶν Ἱστοριῶν αὐτοῦ οὕτως αὐτῇ λέξει διεξιόντος· „Μετὰ γὰρ τὴν παλαιάν, φησί, τοῦ κατ' Αἴγυπ-

---

2-3 *ἐπλανῶντο — πονηρίας* om DE 7 *αὐτῶν*: *οἰκείας* DE 20 *ὁ κόσμος ὅλος* DE 25 *Μωϋσέα* ADE 27 *διὰ τὴν — ὑπερβολὴν* om DE 28 *διὰ ἀνθρώπου* B 29 *Μωϋσέως* ABDE et ailleurs 31 *Θεῷ* om ABDE

τον βίου κατάστασιν τὴν μυθολογουμένην γενέσθαι ἐπὶ θεῶν καὶ ἡρώων, πεῖσαι φασὶν ἐγγράφοις νόμοις χρῆναι τὰ πλήθη βιοῦν, πρῶτον Μωσῆν, ἄνδρα καὶ τῇ ψυχῇ μέγαν καὶ τῷ βίῳ ἱκανώτατον μνημονευόμενον". Καὶ παρακατιών· „Παρὰ μὲν τοῖς Ἰουδαίοις, φησί, Μωσῆν τὸν καλούμενον θεὸν | πρῶτον νομοθέτην γενέσθαι, δεύτερον δὲ νομοθέτην παρ' αὐτοῖς f. 40v γενέσθαι φασὶ Σάουχνιν, ἄνδρα συνέσει διαφέροντα", τοὺς Αἰγυπτίους αἰνιττόμενος λέγειν οὕτω, παρ' ὧν τὰ τοιαῦτα εἰληφὼς εἶχεν.

6. Οὗτος τοίνυν ὁ διὰ τηλικούτου νομοθέτου δοθεὶς νόμος τοῖς ἀνθρώποις τοῦ Μωσέως εἰς βοήθειαν μεγάλην τῆς ἀνθρωπίνης γέγονε φύσεως, ἥτις οὐκ ἂν ἀφ' ἑαυτῆς ἠδύνατο, ὡς εἴρηται, καὶ ἀπὸ τῶν ἰδίων ἀρχῶν ἐν τοιαύτῃ καταστάσει κινηθῆναι ὀρθῶς πρὸς τὸν Θεὸν καὶ μετά τινος ἐλπίδος βεβαίου. Ὥσπερ οὖν οὐκ ἠδύνατο ἀφ' ἑαυτῆς οὕτω κινηθῆναι καὶ διὰ τοῦτο γραπτοῦ νόμου γέγονε χρεία, οὕτως οὐδὲ ἠδύνατ' ἂν παραυτίκα ἀμέσως κινηθῆναι πρὸς τὸν Θεόν, καὶ διὰ τοῦτο τὰ βοηθήματα τὰ δεδόμενα αὐτῇ τῷ νόμῳ τοῦ Μωσέως ἀτελῆ τε ἦσαν καὶ ὥσπερ προπαιδεῖαι τινὲς πρὸς ἄλλον τινὰ τελεώτατον νόμον, ἐξυπνίζουσαί πως τὴν ἐκ τοῦ φυσικοῦ νόμου παρασκευὴν καὶ ἀναζωπυροῦσαι σβεσθεῖσαν καὶ μείζονι καὶ τελεωτέρᾳ τοῦ θείου προνοίᾳ ταύτην παρασκευάζουσαι. Ὅθεν ὁ τοῦ Μωσέως νόμος συνεχώρησε τὰς σωματικὰς ἐκείνας τοῦ θείου λατρείας, αἷς ἡ τῶν ἀνθρώπων φύσις συνείθιστο· ἤρκει γὰρ μαθεῖν τοὺς ἀνθρώπους τότε εὐθὺς τοσοῦτον, ὡς οὐ χρὴ προσφέρειν αὐτὰς τοῖς κτίσμασι τοῦ Θεοῦ, ἢ τοῖς πονηροῖς δαίμοσιν ὡς πρότερον, ἀλλὰ τῷ ἀληθεῖ Θεῷ, ὃς εἷς ἐστι μόνος· οὗτος γὰρ ἦν τῷ Μωσεῖ προὔργου τότε σκοπὸς καὶ τῷ κινοῦντι αὐτὸν πνεύματι. Ἔτι τε τὰς ἐξωτέρας τῶν ἀνθρώπων διωρθώσατο ἐνεργείας, οὐ τὰς ἐνδοτέρας καὶ πνευματικὰς ἐν τοῖς τελειότερον ζῶσι μόνοις ἰθυνομένας, καὶ τὴν πονηρίαν ἐκώλυσεν οὐ τῷ φόβῳ τῆς αἰωνίου πρωτοτύπως κολάσεως, ἀλλὰ μᾶλλον ἀπειλῇ προσκαίρων καὶ σωματικῶν ἀτιμιῶν καὶ ποινῶν. Καὶ διότι ὁ νόμος δίδοται μὲν καὶ τοῖς ἀγαθοῖς τῶν ἀνθρώπων ἐπὶ συνεργίᾳ τῆς ἀγαθῆς αὐτῶν προαιρέσεως, μάλιστα δὲ τίθεται τοῖς σκληροῖς, ὥστε δαμάζειν αὐτούς, διὰ τοῦτο οὐκ ἀπ' ἀρχῆς ὁ τοιοῦτος ἐδόθη νόμος, ἀλλὰ χρόνοις πλείοσιν ὕστερον, ὡς ἂν ἡ τῶν ἀνθρώπων ὑπερηφανία δι' αὐτοῦ νικηθεῖσα, εὐχείρωτος μᾶλλον αὐτῷ καὶ πειθήνιος ᾖ. Ἀδύνατον δ' ἂν ἦν αὐτὴν νικηθῆναι, εἰ μὴ διὰ πείρας | ἐμάνθανον οἱ ἄνθρωποι ἐν χρόνῳ πολλῷ, ὡς οὔτε ἡ φυσικὴ σοφία ἤρ- f. 41 κεσεν αὐτοῖς πρὸς τὴν σωτηρίαν οὔτε ἡ φυσικὴ δύναμις, καὶ διὰ τοῦτο οὔτε γινώσκειν ἀφ' ἑαυτῶν τὸ δέον ἠδύναντο διὰ τῆς σοφίας, οὔτε πληροῦν ἀφ' ἑαυτῶν ὃ ἐγίνωσκον διὰ τῆς δυνάμεως. Ὥσπερ δὲ ἀτελὴς ἦν ὁ τοῦ

---

5 *παρ' αὐτοῖς* om DE 6 *φασὶν* ADE 8 *τοῦ τηλικούτου* ABDE 18 *προνοίᾳ τοῦ θείου* ADE 23 *προὔργου τῷ Μωϋσεῖ* ABDE 29 *συνεργείᾳ* DE

Μωσέως νόμος ἐν τῇ τοῦ τελείου νόμου συγκρίσει, οὕτως οὐδὲ πάνυ δραστήριος ἦν, ὥστε νικήσας τὰ ἀνθρώπινα πάντα κωλύματα, διὰ πάσης πλατυνθῆναι τῆς οἰκουμένης, τῆς τοιαύτης δραστηριότητος πρεπούσης μᾶλλον τῷ τελειοτέρῳ νόμῳ, ὃν ὁ Θεὸς ἀμέσως ἔμελλε διδόναι. Ὅθεν οὐδὲ διὰ πάσης ἐπλατύνθη τῆς γῆς, ἐν βραχεῖ δὲ μέρει αὐτῆς ἴσχυσεν, ἔνθα δὴ καὶ ἐδόθη, ἐν τῇ τῶν Ἰουδαίων γῇ δηλονότι καὶ ἐν ὅσοις τῆς γῆς μέρεσι διεσπάρησαν Ἰουδαῖοι, ξένῃ τινὶ καὶ πιθανωτάτῃ ἀληθείᾳ ἀντὶ τῆς συντρόφου πλάνης προστιθεμένων τῶν ἐγχωρίων τῇ καθ' ἡμέραν τῶν ἐπιχωριαζόντων αὐτοῖς Ἰουδαίων διδασκαλίᾳ· ἡ δὲ πᾶσα γῆ τῆς προτέρας ἀνεπέπλησto πονηρίας καὶ ἀπιστίας, ἐκκυλισθέντων τῶν πλείστων ἀνθρώπων, ὡς εἴρηται, ἐν αὐτῇ εἰς εἰδωλολατρείαν καὶ τὰ αἴσχιστα πάθη. Εἰ δὲ καὶ ἐν Ἕλλησιν ἐδόξασαν ἀληθές τι περὶ τῶν θείων καὶ ὁπωσοῦν, ἢ καὶ ὀρθῶς ἐκ μέρους ἐβίων ἔνιοι, ὡς Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης, οἱ ἄκροι τῶν Ἑλλήνων φιλόσοφοι, ἀλλὰ καὶ οὗτοι ἀπὸ τῶν Ἰουδαϊκῶν μὲν ὠφελήθησαν βίβλων, ὡς πολλαὶ δηλοῦσι περὶ αὐτῶν ἀληθέσταται ἱστορίαι· ἄδολον δὲ τὸ καλὸν οὐκ εἶχον, ἀλλ' ἀναμεμιγμένον ταῖς μυθικαῖς τῶν πολλῶν δόξαις καὶ τῇ πατρίῳ πολυθεΐᾳ. Διόπερ ἀπ' αὐτῶν καὶ τῶν διδασκαλιῶν αὐτῶν οὐδεμία ἀξιόλογος συνέστη αἵρεσις εἰς δημοσίαν καὶ ἀληθῆ τῶν ἀνθρώπων ὠφέλειαν· ὡς εἴρηται μέντοι, καὶ τούτων αὐτῶν ἡ ὁπωσοῦν βελτίωσις ἐν ἤθεσί τε καὶ δόγμασι καὶ ὀλίγων τῶν ἀκολουθησάντων αὐτοῖς ἐν Ἑλλάδι εἰς τὴν αἰτίαν ἀναφέρεται τοῦ μωσαϊκοῦ νόμου. Εἰ δὲ καὶ εἰς ἐλάττονα ἄτομα ἐξηνέχθη ἡ ὠφέλεια τοῦ μωσαϊκοῦ νόμου, ἀλλὰ τὸ ἀγαθὸν αὐτοῦ ὅλη ἡ ἀνθρωπίνη φύσις ἐδέξατο, δι' αὐτοῦ παρασκευασθεῖσα πρὸς τὴν τοῦ τελεωτάτου νόμου ὑποδοχήν. Καὶ μέχρι τοῦ νῦν ἡ τοῦ νόμου ἐκείνου σαφής ἐστιν ὠφέλεια. Φαίνεται γὰρ ἐναργῶς ἡ
f. 41v περὶ | τὸ ἀνθρώπειον γένος ἐπιμέλεια τοῦ Θεοῦ καὶ τῆς αὐτοῦ προνοίας ἡ σοφία ἐκ τῆς τῶν νόμων διαφορᾶς τε καὶ ποικιλίας, οὓς εὐτάκτως ἔδωκεν. Οὐ γὰρ προσωποληπτῶν ἐφύλαττε τοῖς ὕστερον ἐσομένοις τὸν τελεώτατον νόμον, ἀλλὰ διὰ τὴν ὀφειλομένην οὕτως ἐγίνετο τάξιν· διὰ γὰρ τὴν τοῦ φυσικοῦ νόμου φθορὰν ἐν ἀνθρώποις εὐλόγως τε καὶ δικαίως οὐκ ἐδίδοτο τὸ τῆς χάριτος ἀγαθὸν αὐτοῖς ἐν τοσούτῳ χρόνῳ· καίτοι, εἰ κατὰ τὸν φυσικὸν προέκοπτον ὡς ἐχρῆν νόμον εὐθὺς ἀπ' ἀρχῆς, προσετίθετο ἂν αὐτοῖς δι' ἀποκαλύψεως, ὡς εἴρηται, καὶ τὰ ὑπερφυᾶ περὶ τῆς ἀληθείας μαθήματα, καὶ ἕκαστος ἀκολούθως τῇ περὶ τὴν φυσικὴν παρασκευὴν πρὸς τὸ ἀγαθὸν ἐπιμελείᾳ ἐβεβαιοῦντο μὲν ἂν ἐν τῷ ἀγαθῷ, τὴν δὲ εἰς τὰ μείζω προκοπὴν προσελάμβανον, ἐπείπερ ὁδοιπόροι πρὸς τὴν αἰώνιον ζωὴν ἐτίθεντ' ἂν ἐν τούτῳ τῷ βίῳ· καὶ νῦν οὕτως ἐν αὐτῷ τιθέ-

---

22 *ἐξηνέγχθη* B 26 *ἀνθρώπειον* corrigé en *ἀνθρώπινον* dans A 29 *τελειότατον* ABDE 33 *ὡς εἴρηται* om ADE 37 *ἐν* après *ἂν* om AD

μεθα, οὐχ ὡς ἐνταῦθα τοῦ τέλους ἡμῖν κειμένου καὶ λαμβάνεσθαι δυναμένου.

7. Ἐπεὶ δὲ ἔδει ποτὲ τὴν ἀνθρωπείαν φύσιν εἰς τὴν τῆς σωτηρίας ὁδὸν τεθῆναι προῖκα διὰ τῶν δώρων τῆς χάριτος, ἅπερ ὁ εὐαγγελικὸς περιείληφε νόμος, τῆς θείας ἀγαθότητος οὐκ ἀνασχομένης διηνεκεῖ πτώματι τὴν ἀνθρωπίνην φύσιν ἐγκαταλιπεῖν, διότι τρόπον τινὰ καὶ ἀκουσίως τοῦτο αὐτῇ γέγονεν ἐν τῇ διαδοχῇ τῶν καιρῶν, ἅτε τῶν ἐπιγινομένων ἀεὶ φαυλοτέροις ὑποδείγμασι δογμάτων τε καὶ βίου ἀκολουθούντων τοῖς ἐγχωρίοις ἑκασταχοῦ, εὔλογον ἦν πρῶτον μὲν τὸν ψυχικὸν καὶ ζωτικὸν δοθῆναι νόμον ἀνθρώποις, εἶτα τὸν πνευματικὸν ἐλθεῖν, καὶ οὕτως εὐκολώτερον αὐτὸν προσδεχθῆναι. Διὸ καὶ ἐν ᾧ μέρει τῆς γῆς ὁ μωσαϊκὸς ἐβασίλευσε νόμος, ἐν τούτῳ καὶ ὁ νόμος ἐρριζώθη τῆς χάριτος, κἀκεῖθεν εἰς τὴν γῆν ἐξήνθησε πᾶσαν, οὐκ ἀπροσδόκητος ἐλθών, ἀλλ' αὐτοῦ Μωσέως, τὸν ὑψηλότερον ἑαυτοῦ νομοθέτην τοῖς ἀνθρώποις προαναφωνήσαντος. Ὅτε δὴ πρῶτον ἠθέλησεν ὁ Θεὸς ἐγκαίρως παῦσαι λοιπὸν τὴν τοῦ προτέρου νόμου παιδαγωγίαν καὶ ἀπ' αὐτῆς ἐπὶ τὰ τελεώτερα τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης μαθήματα προβιβάσαι τὸ ἀνθρώπινον γένος, οὐκ ἔτι δι' ἀνθρώπου ἡγιασμένου χάριτι, ἀλλὰ δι' ἑαυτοῦ, | τουτέστι διὰ τοῦ Λόγου f. 42 αὐτοῦ ἄνθρωπον ἐνδυσαμένου, τοῦτο πεποίηκε, καὶ αὐτὸς ἡμῖν ἦλθε τοῦ τελειοτάτου νόμου δοτήρ. Ἐπειδὴ γὰρ ὁ νόμος οὗτος ἀμέσως ἔχει τὸν ἄνθρωπον ἄγειν ἐπὶ τὸ προκείμενον αὐτῷ τέλος (ἔστι γὰρ καὶ ὅλως πνευματικὸς καὶ τὴν ἀνθρωπίνην ψυχὴν ἐπὶ τὴν τοῦ θείου κοινωνίαν ἐν τοῖς καλῶς αὐτὸν ὑποδεχομένοις καὶ τηροῦσι μετεωρίζων οὐκ εἰς μακράν), οὐκ ἂν εἶχεν οἰκείως δίδοσθαι, εἰ μὴ δι' αὐτοῦ τοῦ Θεοῦ ἀμέσως, ὥστε τοὺς ἀνθρώπους οὐ μόνον τῇ χάριτι τοῦ νομοθέτου διατιθεμένους, ἀλλὰ καὶ οἴκοθεν συμπειθομένους ἐκ τοῦ βεβαίως πεισθῆναι Θεὸν εἶναι τὸν νομοθετοῦντα, δέχεσθαί τε ἀσμένως τὴν διὰ τοῦ νόμου τούτου βελτίωσιν καὶ πάσης δυσχερείας καταφρονεῖν τε καὶ περιγίνεσθαι. Ἀμέσως δὲ διὰ τοῦ Θεοῦ δίδοσθαι τοῖς ἀνθρώποις πῶς ἂν ἄλλως ἠδύνατο, εἰ μὴ τοῦ Θεοῦ τῇ ἀνθρωπίνῃ φύσει ἑνωθέντος; Τὸ δὲ ἑνωθῆναι αὐτῇ τὸν Θεὸν ἀβούλητον μὲν οὐκ ἂν ἔμελλεν εἶναι αὐτῷ διά τε τὰ εἰρημένα καὶ ὡς οὐκ ἐναντίον τῇ αὐτοῦ ἀγαθότητι καὶ ἀρίστῃ βουλήσει· οἰκειότατον μὲν οὖν, ἀδύνατον δὲ οὐκ ἂν ἔμελλεν εἶναι διὰ τὸ τὸν Θεὸν παντοδύναμον εἶναι καὶ πάντα δύνασθαι, ἐν ὅσοις οὐκ ἔστιν ἀντίφασις. Οὐδεμία δὲ ἀντίφασις ἐν τῷ τὸν Θεὸν καὶ ἐν ἀληθινῷ ὁμοιώματι τῶν ἀνθρώπων γενέσθαι θελῆσαι, μείναντα χωρὶς πάθους καὶ ἀλλοιώσεως ὅπερ ἐστίν. Εἰ γὰρ ἐν τῷ παντὶ τούτῳ καὶ ὑπὲρ τὸ πᾶν ἔστιν ὁ Θεὸς καὶ ἐν πᾶσι τοῖς τοῦ

---

3 *ἀνθρωπίνην* ABDE 5 *περιείληφεν* DE 10 *νόμον δοθῆναι* ABDE
18-19 *τουτέστι διὰ τοῦ Λόγου αὐτοῦ* om C

κόσμου μέρεσιν, ἅτε καὶ οὐσίᾳ καὶ δυνάμει ἄπειρος ὤν, πῶς οὐ δυνήσεται ἐν ἑνὶ εἶναι ἀνθρώπῳ; καὶ εἰ ἔστιν ἐν ἑνὶ ἀνθρώπῳ τελειότερον ἢ ἐν τοῖς ἄλλοις, οἷον ἐν προφήταις πλέον τῶν ἄλλων, καὶ τούτων ἔτι μᾶλλον ἐν τοῖς σπουδῇ τε αὐτῶν πλείονι καὶ ὑπερβολῇ θείας χάριτος εἰς τὴν θείαν ἀγάπην προκεκοφόσι, διὰ τί μὴ δυνήσεται ἐν ἑνὶ εἶναι ἀνθρώπῳ ὑψηλότερόν τινα τρόπον ἢ ἐν τοῖς ἄλλοις ἅπασιν, ὥσπερ ἐν ἰδιαιτάτῳ ὀργάνῳ συναφθέντι αὐτῷ, τὸν τρόπον ὃν ἡ χεὶρ τῇ κινητικῇ δυνάμει συνάπτεται, καὶ οὐ τῷ τρόπῳ τῶν ἄλλων ὀργάνων;

8. Ἐδόθη τοίνυν οὕτω διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ τοῖς ἀνθρώποις ὁ τελεώτατος νόμος· ἐν ᾧ δὴ Χριστῷ ἀληθὴς ἦν θεότης καὶ ἀληθὴς ἀνθρωπότης ἀμεταβλήτως, ὥσπερ | ἐν ἡμῖν τοῖς ἀνθρώποις ἀσώματός τε ψυχὴ καὶ σῶμα ἑνοῦνται ἀμεταβλήτως. Πολλῶν δὲ καὶ μεγάλων ἡμῖν εὐεργεσιῶν ἐκ τῆς θείας ἐνανθρωπίσεως καταπεπραγμένων καὶ πολλῶν αἰτιῶν ἐπὶ τὴν τοιαύτην οἰκονομίαν τὸν ὑπεράγαθον ἡμῶν Θεὸν κινῆσαι πιστευομένων ἀναμφιβόλως, ἐν τῷ παρόντι πάσας αὐτὰς παρατρέχοντες, ἐπὶ τὴν διὰ τοῦ νόμου τούτου τελείωσιν μόνην τῶν ἀνθρώπων ἐρχόμεθα, ὅπερ ἡ πρόθεσις τοῦ παρόντος ἡμῖν ἐστι λόγου.

f. 42v

9. Οὗτος τοίνυν ὁ τοῦ Ἰησοῦ νόμος οὐκ ἦλθεν ἐναντίος τῷ νόμῳ τοῦ Μωσέως, ἀλλὰ πλήρωσις ἐκείνου μᾶλλόν ἐστι· διὸ καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ἐφ' ἑαυτοῦ τὸν διὰ τοῦ Μωσέως νόμον πεπλήρωκεν, ἔργοις μὲν τηρήσας πάντα τὰ νομικά, διδασκαλίαις δὲ τριχῶς. Πρῶτον μὲν γὰρ τὴν ἀληθῆ τοῦ νόμου διάνοιαν ἐφανέρωσε, πρόσθεν ἀγνοουμένην· δεύτερον, ἔδειξεν ὅπως δεῖ τὰ τοῦ μωσαϊκοῦ νόμου τηρεῖν παραγγέλματα σὺν πλείονι ἀσφαλείᾳ· τρίτον, τὰς τελειοτέρας προσέθηκε παραινέσεις. Οὗτος ὁ οὐράνιος νόμος ὑπὸ τοῦ Μωσέως προεφητεύθη ἥξειν εἰς τοὺς ἀνθρώπους, καθάπερ ἔφθημεν εἰρηκότες· διὸ καὶ οἱ Ἰουδαῖοι, οἳ τὸν μωσαϊκὸν ἰδίως φυλάττειν νόμον δοκοῦσιν, ἔτι τὸν ὑψηλότερον ἐκδέχονται νομοθέτην πλανώμενοι· οὐ γὰρ πείθονται τὸν ὑπὸ τοῦ Μωσέως καὶ τῶν ἄλλων προφητῶν προανακηρυχθέντα λυτρωτὴν καὶ σωτῆρα ἐληλυθέναι, ἀλλὰ τὸν ἐλθόντα διαβάλλοντες, ἐκδέχονται καθ' ἑκάστην ὅν φασιν ἀληθινὸν ἔσεσθαι Χριστόν. Οἱ δὲ θειότεροι τῶν λοιπῶν προφητῶν καὶ φανερώτερον τοῦ Μωσέως προεῖπον τὴν ἐκ Παρθένου γέννησιν τοῦ Ἰησοῦ καὶ τὰς διδασκαλίας αὐτοῦ καὶ τὰ θαύματα καὶ τὴν φιλοσοφωτάτην ἐκείνην ζωήν τε καὶ ὑπὲρ τῆς ἀληθείας ὕστερον τελευτὴν καὶ τὴν ἀνάστασιν, καὶ ὅσα ἐπ' αὐτῷ ἐγένοντο· καὶ πάνθ' ὅσα φρονοῦμεν περὶ τῆς τοῦ Ἰησοῦ μεγαλειότητος ἀκολουθοῦντες τῇ φανερωτάτῃ ἐκβάσει τῶν προφητευθέντων περὶ αὐτοῦ, ταῦτα οἱ προφῆται δι' ἀποκαλύψεως ᾔδεσαν γενησόμενα οὕτω καὶ

---

6 *πᾶσιν* ABDE 11 *ἡμῖν τοῖς* om ABDE 20 *διὰ* om DE 26 *οἱ* avant *Ἰουδαῖοι* om C

προεῖπον οἰκονομίᾳ Θεοῦ, ὡς ἂν ἐν τῷ καιρῷ τῶν πραγμάτων βεβαιότερον πιστευθῶσιν. Ὅθεν καὶ οἱ νουνεχέστεροι τῶν Ἰουδαίων, ἐκ τῶν πραγμάτων συμβαλόντες καλῶς ἐλθεῖν τὸν προ|φητευθέντα, ἐπίστευσαν αὐτῷ ἐλθόντι. f. 43

10. Οὗτος ὁ νόμος τοῦ Ἰησοῦ καὶ τὸ ἔργον ἅπαν αὐτοῦ προεφητεύθη συγχωρήσει Θεοῦ διὰ πλείω τῆς ἀληθείας φανέρωσιν καὶ βεβαίωσιν ἔκ τε τῶν ἑλληνικῶν μαντείων καὶ τῶν σιβυλλῶν καὶ τῶν σοφωτάτων ἐν Ἕλλησι καὶ Αἰγυπτίοις, ἰδιαίτερον δὲ ὑπὸ τῶν χρηστηρίων προηγορεύθησαν, προλεγόντων καὶ ὀδυρομένων τῶν δαιμονίων τὴν κατάλυσιν τῆς οἰκείας ἀρχῆς, ἣν εἶχον ἐξαπατῶντες τὰς τῶν ἀνθρώπων ψυχὰς καὶ τὴν τιμὴν τοῦ ἐπὶ πάντων Θεοῦ καὶ τὸ σέβας εἰς ἑαυτοὺς ἕλκοντες· ἃ πάντα ἐν τοῖς ἑλληνικοῖς βιβλίοις σῳζόμενα μέχρι καὶ νῦν οὐκ ἐκτίθεμεν ἐνταῦθα καθ' ἕκαστα συντομίας φροντίζοντες· ἐξέστω δὲ τοῖς σπουδαιοτέροις ζητεῖν αὐτὰ καὶ εὑρίσκειν. Διὸ καὶ οἱ τῶν Ἑλλήνων τότε σοφώτεροι, ἐν τῷ καιρῷ δηλονότι τῆς θείας ἐπιδημίας καὶ τοῦ περὶ αὐτῆς κηρύγματος τῶν ἐπὶ τούτῳ ἐξειλεγμένων τοῦ Ἰησοῦ μαθητῶν, συμβαλόντες καὶ αὐτοὶ ἔκ τε τῶν ἐκ πλείονος χρόνου προᾳδομένων καὶ τῶν ἀρτίως φαινομένων πραγμάτων τὴν τῶν κηρυττομένων ἀλήθειαν ἅμα δὲ καὶ τὸ ἔνθεον καὶ ὑψηλὸν τῆς νομοθεσίας τοῦ Ἰησοῦ καὶ διδασκαλίας κατειληφότες, ἀφιλονείκως τῷ σωτηρίῳ προσετέθησαν νόμῳ καὶ τῇ περὶ τοῦ δεδωκότος αὐτὸν πίστει, ὥσπερ οἱ τῶν Ἰουδαίων ἀπαθέστεροι, προειπόντος καὶ τοῦτο τοῦ Ἰησοῦ, ὅτι τὰ ἐν τῇ γῇ ἔθνη, ἐν οἷς ὅ τε φυσικὸς νόμος ἔφθαρτο πλεῖστον καὶ ὁ διὰ Μωσέως δεδομένος ἄγνωστος ἦν, πολλῷ ῥᾷον τὸ διὰ τῶν ἀποστόλων δέξονται κήρυγμα ἢ οἱ γνησιώτερον πρὸς αὐτὸ πολλοῖς τρόποις ἔχοντες Ἰουδαῖοι καὶ τούτου χάριν τὴν διὰ τοῦ μωσαϊκοῦ νόμου προειληφότες παρασκευήν.

11. Οὗτος ὁ τοῦ Ἰησοῦ νόμος οὐδὲν ἐναντίον περιέχει, πάντα δὲ σύμφωνα· οὐδὲν πλασματῶδες, ἀλλὰ πάντα ἀληθινά· οὐδὲν σωματικόν, ἀλλὰ πάντα πνευματικά. Καὶ ὡς μὲν τῷ φυσικῷ νόμῳ συνᾴδων καὶ τῷ διὰ Μωσέως πρὸ αὐτοῦ δεδομένῳ, θεῖός ἐστιν ὁμολογουμένως, τοιούτων ὄντων ἐκείνων· ὡς δ' ἐκείνων ἀναπληρωτικὸς μετὰ θειοτέρας προσθήκης, ἱερώτερος ἐκείνων πολλῷ καὶ θειότερος. Ἄγει γὰρ ἀμέσως τοὺς πειθομένους εἰς τὴν ὑποταγὴν τοῦ Θεοῦ, ποιῶν | τῶν προσκαίρων πάντων f. 43v καταφρονεῖν καὶ τῆς ζωῆς αὐτῆς ἐπὶ πᾶσι, διὰ τὴν τῆς ἀληθείας καὶ τῆς αἰωνίου ζωῆς ἀγάπην· ὃ δῆλόν ἐστιν ἐκ τῶν ἀναριθμήτων μαρτύρων, κολαζομένων τε σὺν προθυμίᾳ καὶ τόλμῃ πολλῇ καὶ τελευταῖον θνῃσκόντων ὑπὲρ τοῦ μὴ καταπροέσθαι τὸν τοῦ Χριστοῦ νόμον, ὃ μέγιστον σημεῖον

7-8 *τῶν σαφ. Ἑλλήνων καὶ Αἰγυπτίων* ABDE 8 *χρηστηρίων: μαντείων* ABDE 21 *ὥσπερ τῶν Ἰ. οἱ ἀπαθ.* ADE 23 *δεδογμένος* B

ἐστι τοῦ θεῖον αὐτὸν ἄντικρυς εἶναι, ὅτι διωκόμενος ἀνηλεῶς ἐξ ἁπάσης τῆς γῆς ὑπὸ τῶν τῆς οἰκουμένης αὐτοκρατόρων πλεὶν ἢ τριακοσίοις ἐφεξῆς ἔτεσιν, ὅμως ἴσχυσεν ἐν πάσῃ βεβαιωθῆναι τῇ γῇ, καὶ οὐδὲν αὐτῆς ὑπολέλειπται μέρος, ὃ τὴν θείαν ἐπιφάνειαν οὐκ ἐδέξατο καὶ κατέσχε. Καὶ ὅσῳ θηριωδέστερον ὑπὸ τῶν βασιλέων τότε καὶ τῶν πανταχοῦ ἐπάρχων αὐτῶν τὰ τῶν πιστευόντων ἐκτείνοντο σώματα, τοσούτῳ καθ' ἡμέραν ἐπλατύνετο μὲν ἡ πίστις τοῦ Ἰησοῦ, ἡ δὲ εἰδωλομανία καὶ πολυθεΐα τῶν φονευτῶν ἠφανίζετο.

12. Ἐπεὶ τοίνυν ὁ τοῦ ἡμετέρου Ἰησοῦ νόμος ἐτελείωσε μὲν τὸν ἀνθρώπινον νοῦν, δόγματά τε δεδωκὼς ἀληθέστατα περὶ Θεοῦ καὶ τῶν θείων, πεπαυμένης τῆς τῶν δαιμόνων δυναστείας, ἣν τῇ πολυθεΐᾳ καὶ εἰδωλολατρείᾳ κατὰ τῶν ἀνθρωπίνων ψυχῶν ἐσοφίζοντο, καὶ λατρείας ὁδὸν δείξας πνευματικήν, ἐτελείωσε δὲ τὴν ἀνθρωπίνην ὄρεξιν τῷ δοῦναι λόγους καὶ ὑποδείγματα τῶν ἀληθινῶν ἀρετῶν, αἳ μὴ μόνον τὰς ἐξωτέρας ἐνεργείας ἡμῶν, ἀλλὰ καὶ αὐτὰς τὰς ἐν τῇ ψυχῇ κινήσεις τάττειν καὶ ἀπευθύνειν πρὸς Θεὸν δύνανται, καὶ ὅλον οὕτω τὸν ἄνθρωπον ὑπέταξε τῷ Θεῷ, καὶ δυνατόν ἐστι πάντα ἄνθρωπον τηροῦντα τὸν τοιοῦτον νόμον καλῶς ἕτοιμον εἶναι πρὸς τὸ δέξασθαι τὴν αἰώνιον ἐγκαίρως ζωὴν καὶ εἰς τὴν ἐλπιζομένην ἀπόλαυσιν ἐλθεῖν τοῦ Θεοῦ, — ἐπεὶ τοιοῦτός ἐστιν, ἀναμφισβητήτως ἐστὶ νόμος Θεοῦ τέλειος. Ὥσπερ γὰρ τὴν ἐπιστήμην τρία ποιοῦσιν ἐν ἀνθρώπῳ τάξει τινί, ἡ φυσικὴ ἑτοιμασία, τὰ προμαθήματα καὶ τὰ τέλεια μαθήματα, ἅπερ ἀμέσως τὴν ἐπιστήμην ποιοῦσιν ἐν τῇ ψυχῇ· καὶ ὥσπερ τὴν ὑγιείαν ἐν τῷ ἀνθρώπου σώματι τρία ἐπαναφέρουσιν, ἡ δύναμις τῆς φύσεως συνεργούσης, τὰ προκαθάρσια καὶ τὰ τέλεια φάρμακα, ἅπερ ἀμέσως ἐν τῷ σώματι τὴν ὑγιείαν ποιοῦσι· καὶ ὥσπερ τὴν τοῦ ἀνθρώπου τροφήν, f. 44 | δι' ἧς ἡ σωματικὴ αὐτοῦ ζωὴ συνίσταται, τρία ποιοῦσιν, ἡ βοτάνη, ὁ στάχυς καὶ ὁ κόκκος, ὃς ἀμέσως τρέφει τὸν ἄνθρωπον, οὕτω καὶ ἡ τῆς ἀνθρωπίνης ζωῆς κατάστασις ἐν τῷδε τῷ βίῳ πνευματικῶς διὰ τριῶν τούτων συνέστη καὶ ἀπηρτίσθη, τοῦ φυσικοῦ νόμου, τοῦ μωσαϊκοῦ καὶ τοῦ εὐαγγελικοῦ, ὃν καλοῦμεν νόμον τῆς χάριτος, ὅτι χάριτι Θεοῦ δεδομένος ἐστὶν εἰς δικαίωσιν τῶν ἀνθρώπων, οἳ οὐκ ἂν ἠδύναντο διὰ τῶν προτέρων νόμων δικαιωθῆναι, ὡς εἴρηται. Καὶ ἐν παντὶ πράγματι ἀρχή ἐστι καὶ μεσότης καὶ τελευτή, δι' ὧν δήπου τριῶν ἡ τοῦ πράγματος κατάστασις ἀπὸ τοῦ ἀτελεστέρου πρὸς τὸ τελειότερον ἐξαλλάττεται· οὕτως ἀρχὴ μὲν τῆς ἀνθρωπίνης καταστάσεως ὁ φυσικὸς ἦν νόμος, μεσότης δέ, ὁ διὰ Μωσέως δοθείς, πέρας δὲ καὶ τελειότης, ὁ τοῦ Χριστοῦ, καὶ ταύτῃ τῇ τελειότητι ἀμέσως ἐπακολουθήσειν πιστεύομεν τὴν ἐν ἐκείνῳ τῷ μέλλοντι βίῳ τελειοτέραν κατάστασιν.

19-20 *ἀναμφισβητήτως ἐστὶ* om DE; *ἀναμφισβήτως* B 28 *πνευματικῶς* om ABDE

13. Ἐπειδὴ τοίνυν ἡμῖν ἐν ἀρχῇ τοῦ λόγου προϋπετέθη τὴν τῆς σωτηρίας ὁδὸν εὑρίσκεσθαί τε ἐν ἀνθρώποις καὶ κατορθοῦσθαι διά τε δογμάτων ὀρθῶν καὶ βίου καθαροῦ, ὁ δ' εὐαγγελικὸς νόμος δῆλός ἐστιν ἄμφω ταῦτα πεποιηκὼς ἐν ἡμῖν, τὴν μὲν ἑνότητα τοῦ Θεοῦ καὶ τὰς ἄλλας θεοπρεπεῖς ἐννοίας ἄριστα τοὺς ἀνθρώπους διδάξας, τῆς πολυθέου πλάνης κατηργημένης, τὴν δὲ ἠθικὴν ἀρετὴν οὕτω γνησίως πεπαιδευκώς, ὥστε ἀπό τε τῶν λόγων ἔκ τε τοῦ ὑποδείγματος τοῦ Ἰησοῦ εἰς τὸν τελευταῖον τῆς φιλοσοφίας ὅρον πλήθη ἀνθρώπων ἀναρίθμητα ἀναχθῆναι, οἳ διὰ τὴν ἐπιθυμίαν τῶν ἀϊδίων τῆς ζωῆς καὶ τῶν ἐν αὐτῇ πάντων ἡδέων κατεφρόνησαν ἀνδρικῶς, οἳ μὲν διὰ βίου τὸν κόσμον ἠρνημένοι καὶ ταῖς ἐρήμοις ἀπαρακλήτως προσμείναντες, οἳ δὲ σὺν πολλαῖς τιμωρίαις προθύμως ἀποθανόντες ὑπὲρ τοῦ τὴν πιστευθεῖσαν αὐτοῖς ἀλήθειαν μὴ ἀρνήσασθαι, οἳ δὲ ἐν μέσαις ταῖς πολιτείαις μετὰ πάσης ἀρετῆς τὸν μετριώτερον ᾑρημένοι τε καὶ ἀνύσαντες βίον, εὐλόγως διὰ ταῦτα πιστεύομεν μόνον τὸν εὐαγγελικὸν νόμον τὴν ὁδὸν εἶναι τῆς σωτηρίας.

14. Εἰ δέ τινας θορυβεῖ τῶν μήπω πεπιστευκότων, ὅτι τὸν Θεὸν ἕνα μὲν | ὁμολογοῦμεν, Πατέρα δὲ αὐτὸν καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον λέγομεν, f. 44v
καὶ ὅτι τὸν Κύριον ἡμῶν Ἰησοῦν ἀληθῆ Θεὸν καὶ ἀληθῆ ἄνθρωπον γεγονέναι τε καὶ εἶναι φρονοῦμεν, περὶ μὲν τοῦ προτέρου αὐτὸν τὸν Ἰησοῦν πρὸ πάντων ἔχομεν μαρτυροῦντα ἐν πολλοῖς τοῦ Εὐαγγελίου μέρεσιν, ᾧ γε ἀληθεῖ ὄντι καὶ αὐτοαληθείᾳ δεῖ πιστεύειν ἀνεξετάστως. Ἔπειτα καὶ λόγῳ τὴν τοιαύτην πίστιν παραμυθούμεθα. Αὐτῷ γὰρ τῷ Κυρίῳ πειθόμενοι, καὶ τῇ Παλαιᾷ Γραφῇ καὶ τῷ εἰκότι λόγῳ συμμαρτυροῦντι, ἕνα μὲν τὸν Θεὸν εἶναι φρονοῦμεν καὶ ἄκρως ἁπλοῦν καὶ πάσης ἀνώτερον συνθέσεως. Διότι δὲ νοῶν ἐστι καὶ νοῦς ἐστιν ἄριστος καὶ σοφώτατος, ἀναγκαίως αὐτὸν πιστεύομεν καὶ νόησιν ἔχειν, δι' ἧς ἑαυτὸν νοεῖ καὶ τὰ ἄλλα· εἰ μὴ γὰρ ἦν ὁ Θεὸς νοῦς, πῶς ἂν ἐποίει μόνος τὰ ὄντα πάντα; Πῶς δ' ἂν ἔμελλε προϋφιστᾶν τοῖς οὖσι πᾶσι τὸ τέλος ὡς πάντων αἴτιος; Ἄμφω γὰρ ταῦτα τῇ φύσει τοῦ νοῦ προσήκουσι καὶ τῷ διὰ νοῦ ποιοῦντι. Ἐπεὶ δὲ τῷ πρώτῳ ποιοῦντι καὶ πρώτῳ νοοῦντι ἁρμόττει τὸ διὰ θελήσεως ἰδίας ποιεῖν ἢ νοεῖν (ἀδύνατον γὰρ ἂν ἦν ἄλλως ποιεῖν καθ' ἑαυτὸν ἢ νοεῖν), ἀναγκαίως αὐτὸν πιστεύομεν καὶ θέλησιν ἔχειν, δι' ἧς ἑαυτόν τε θέλει καὶ τὰ ἄλλα. Καὶ τὴν μὲν νόησιν ἢ τὸ νόημα αὐτοῦ Λόγον καλοῦμεν (διὰ ταύτης γὰρ ὡσανεὶ διαλέγεται πρὸς ἑαυτὸ ἅπαν τὸ νοοῦν) καὶ γέννημα καλοῦμεν καὶ Υἱόν· ὡς γὰρ ὁ υἱὸς ὅμοιός ἐστι τῇ φύσει τοῦ γεννῶντος πατρός, οὕτω καὶ τὸ νόημα ὅμοιον τῇ τοῦ γεννῶντος νοῦ φύσει, καὶ νοῦς ἐστι καὶ αὐτό, νοῦς μέντοι νοούμενος. Ἔτι καὶ σοφίαν τοῦ Θεοῦ καλοῦμεν· ὁ γὰρ νοητὸς λόγος ὁ συλλαμβανόμενος ἐν τῷ νῷ φανέρωσίς

2 *ἑνομ.* ABDE 25 *ἐστιν* om ABDE

ἐστι τῆς τοῦ γεννῶντος σοφίας νοῦ. Ἡ δὲ νοερὰ θέλησις ἀγάπη τοῦ Θεοῦ καὶ Πνεῦμα ἅγιον λέγεται καὶ ἀγαθότης αὐτοῦ. Τούτων τῷ μὲν Λόγῳ καὶ τῇ σοφίᾳ δημιουργεῖ τὰς φύσεις τῶν ὄντων ὁ Θεός, τῷ δὲ Πνεύματι καὶ τῇ ἀγαθῇ θελήσει τὰς αὐτῶν ἐφέσεις ἐπιστρέφει πρὸς ἑαυτὸν ὡς ἄκρον τε καὶ ἄριστον τέλος. Διὸ καὶ ὅτε ἠθέλησεν ἀμέσως δι' ἑαυτοῦ τὴν ἀνθρωπείαν βελτιῶσαι φύσιν, ὡς εἴρηται, πρῶτον μὲν τὸν αὐτὸν Λόγον ἔπεμψε σωματικῶς, εἶτα τὸ Πνεῦμα ἐν εἴδει πυρίνων γλωσσῶν. Καὶ τῷ μὲν Λόγῳ καὶ τῇ σοφίᾳ, ἥτις ἦν ἐν τῷ Χριστῷ καὶ ἔστιν, ὑπέστησέ τε
f. 45 καὶ ᾠκοδόμησε τὰς τῶν ἀποστόλων ψυχὰς ἐν τῇ ἀληθεῖ | περὶ αὐτοῦ πίστει· τῷ δὲ Πνεύματι ταύτας ἐπέστρεψε πρὸς τὴν οἰκείαν ἀγάπην οὕτω βεβαίως, ὥστε ὑπὲρ τῆς πίστεως αὐτῶν ἥδιστα ἐτελεύτων, ἐπιθυμοῦντες τάχιον συγγενέσθαι καὶ ἑνωθῆναι τῷ τέλει αὐτῶν. Ταῦτα δὴ τὰ τρία, ὁ θεῖος Νοῦς δηλονότι καὶ ὁ Λόγος αὐτοῦ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἕν εἰσι κατὰ τὴν φύσιν, καὶ Θεὸς εἷς, καὶ νοῦς εἷς, καὶ νοητὸν ἕν, καὶ ἓν ἀγαθόν, ὥσπερ κἀν τῇ ψυχῇ τοῦ ἀνθρώπου κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ γενομένῃ, ὡς τὸ γράμμα λέγει τοῦ Μωσέως, ὁ νοῦς καὶ ὁ λόγος, τουτέστι τὸ νοηθὲν νόημα, καὶ ἡ νοερὰ θέλησις, ὥσπερ κίνησις οὖσα τοῦ νοῦ ὑπὸ τοῦ ἀγαθοῦ καὶ πρὸς τοῦτο, ταῦτα δὴ τὰ τρία ἡ μία τοῦ ἑνὸς ἀνθρώπου ψυχή εἰσι. Τῷ δὲ τελεώτερον ἐν τῷ Θεῷ τὸν Λόγον καὶ τὸ Πνεῦμα ἐνυπάρχειν, καθὰ δήπου προσήκει, καὶ πλέον ἐκεῖ διακεκριμένα εἰσὶν ἢ ἐν ἀνθρώπῳ, ὡς πρόσωπα δηλονότι καὶ ὑποστάσεις, τουτέστιν ἰδιότητες ὑφεστηκυῖαι· τῇ δὲ φύσει καὶ οὕτως ἕν εἰσιν· ἡ γὰρ προσωπικὴ καὶ ἀτομικὴ τῶν ἰδιοτήτων διάκρισις οὐκ ἀναιρεῖ τὴν τῆς φύσεως ἑνότητα κατὰ τὸ εἶδος οὐδὲ ἐν τοῖς κτιστοῖς πράγμασιν. Εἰ δ' ἐκεῖ μείζων ἡ ἑνότης τῆς φύσεως ἢ ἐν τοῖς κτιστοῖς ἐστιν, εὐλόγως καὶ τοῦτό ἐστι διὰ τὴν ἐσχάτην ἁπλότητα ἐν τῷ Θεῷ καὶ ἀσυνθεσίαν ἄκραν καὶ τελειότητα.

15. Περὶ δὲ τοῦ δευτέρου τῇ αὐτῇ συντομίᾳ χρώμενοι λέγομεν τὸν μὲν τοῦ Θεοῦ Λόγον ἀναλαβεῖν τὴν ἀνθρωπίνην φύσιν τῶν εἰρημένων ἕνεκα, τὸν αὐτὸν δὲ τοῦ Θεοῦ Λόγον ἅμα καὶ ἐν τῷ Πατρὶ τότε εἶναι κἀν τῇ ἀνθρωπίνῃ τοῦ Χριστοῦ φύσει τῇ ἐκ τῆς Παρθένου προσληφθείσῃ· καὶ τὸν αὐτὸν καὶ ἕνα τοῦ Θεοῦ Λόγον ἐν οὐρανῷ ἅμα εἶναι τότε καὶ ἐν τῇ γῇ, ὥσπερ ὁ νοητὸς ἐν ἐμοὶ λόγος, ᾗ μέν ἐστιν ἐμὸν νόημα, ἀεί ἐστιν ἐν ἐμοί, θέλοντι δέ μοι αὐτὸν φανερῶσαι, προφέρεται καὶ ἔξω, καὶ ἔστι τότε προφορικὸς λόγος καὶ εἰς τὰς ἀκοὰς ἑνὸς ἢ πλειόνων εἰσέρχεται, καὶ γράφεται ἔτι ἐν χάρτῃ, ὅτε δὴ καὶ σωματικώτερος γίνεται. Εἷς οὖν ἐστι διὰ πάντων ὁ νοούμενός τε καὶ λεγόμενος ἢ γραφόμενος λόγος, καὶ κατὰ τὴν ἀληθῆ οὐσίαν αὐτοῦ ἀπαθής ἐστιν, εἰ καὶ πάσχουσι τὰ δεχό-

---

5-6 *ἀνθρωπίνην* ABDA 28 *τὴν ἀνθρ. φύσιν ἀναλαβεῖν* ABDE 29 *ἅμα καὶ* om ABD 30 *ληφθείσῃ* ABDE 32 *ἐν* om ADE

μενα, εἴτε ὁ ἀὴρ ἐν τῷ λέγεσθαι αὐτόν, εἴτε αἱ ἀκοαὶ ἐν τῷ ἀκούεσθαι, εἴτε ὁ χάρτης ἐν τῷ γράφεσθαι διὰ τὸ τὴν οὐσίαν | τοῦ ἀνθρωπίνου λόγου f. 45v ἐν τῷ νῷ εἶναι ἀεὶ ἀπαθῶς. Ὥσπερ οὖν οὔτε ὁ λόγος ὁ ἐν τῷ νῷ γίνεται χάρτης, οὔτε ὁ χάρτης γίνεται λόγος, ἀλλὰ μένων ἐν τῷ νῷ τοῦ νοοῦντος ἀνθρώπου καὶ ἐν τῷ χάρτῃ ὁ αὐτὸς γράφεται, οὕτως οὔτε ἡ θειότης τοῦ θείου Λόγου ἐγένετο ἄνθρωπος οὔτε ἡ ἀνθρωπότης τοῦ Χριστοῦ ἐγένετο Θεός, ἀλλ' ὁ τοῦ Θεοῦ Λόγος, Θεὸς ὢν ἀληθὴς φύσει, προσέλαβε τὸ ἀνθρώπινον τοῦ Χριστοῦ, καὶ οὕτως ὁ προσειληφὼς Θεὸς καὶ ὁ προσληφθεὶς ἄνθρωπος διὰ τὴν ἄπειρον τοῦ προσειληφότος Θεοῦ δύναμιν ἓν γέγονε πρόσωπον, ἀλλ' οὐχ ἓν πρᾶγμα καὶ μία φύσις. Τοῦτο πλέον ἐστὶν ἐνταῦθα καὶ μὴ δυνάμενον ὁμοίως ἐν τῷ παραδείγματι εἶναι, ὅτι ὁ μὲν νοητὸς τοῦ ἀνθρώπου λόγος οὐκ ἔστιν ἀτομικῶς εἷς ἐν τῷ νῷ τοῦ ἀνθρώπου καὶ ἐν τῷ χάρτῃ· πεπερασμένος γάρ ἐστι καὶ οὐ δύναται πανταχοῦ εἶναι οὐσιωδῶς ὁ αὐτός. Ἀλλ' ὁ τοῦ Θεοῦ Λόγος ἄπειρος ὤν, ἦν ὁ αὐτὸς οὐσιωδῶς ὡς ἓν ἄτομον καὶ μία ὑπόστασις ἔν τε τῷ Θεῷ καὶ Πατρὶ καὶ ἐν τῷ τοῦ Χριστοῦ ἀνθρωπίνῳ, καὶ οὕτω καθάπερ ἐν τῷ Πατρί ἐστιν ἀπαθής, οὕτω καὶ ἐν τῷ ἀνθρώπῳ μέχρι παντὸς ἀπαθὴς διαμεμένηκεν.

16. Οὕτω τὸν Χριστὸν Θεὸν ἀληθῆ καὶ ἄνθρωπον ἀληθῆ πιστεύομεν, οὐ τῆς τοῦ Λόγου θεότητος προϋποστάντι τῷ ἀνθρωπίνῳ τοῦ Χριστοῦ ἐνοικισθείσης τε καὶ συγγενομένης, ἀλλ' ἐν ἑαυτῇ τοῦτο μᾶλλον ὑποστησάσης δι' ἀπειρίαν δυνάμεως καὶ ἄνθρωπον τέλειον ἄνευ σπέρματος ἀπαρτισάσης τε καὶ προσλαβομένης καὶ διὰ τοῦτο τῆς προγονικῆς ἁμαρτίας καὶ τῶν ταύτης ἀπηλλαγμένον πάντη καρπῶν. Καὶ δι' ὧν μὲν ἐποίησεν ὁ σαρκωθεὶς τοῦ Θεοῦ Λόγος, ἐπιστεύθη Θεὸς εἶναι· μόνου γὰρ ἦν ἔργα Θεοῦ· δι' ὧν δὲ ἐδίδαξεν, ἔθηκε τελεώτατα τοὺς ἀνθρώπους ἐν τῇ τῆς σωτηρίας ὁδῷ· δι' ὧν ἐβίωσεν, ἔδειξεν ἔργῳ τῆς ἀληθείας διδάσκαλον ἑαυτόν, καὶ ἀντίρροπον τῇ ἁμαρτίᾳ τῆς ἀνθρωπίνης φύσεως τὴν ἰδίαν εἰσήνεγκεν ἀρετήν· δι' ὧν ἀνθρωπίνως ἔπαθεν, οὐ μόνον τὴν ὑπὲρ ἡμῶν ἀπέτισε δίκην καὶ ὅσα ὁ περὶ τοῦ πάθους ἐκείνου μυστηριώδης βούλεται λόγος, ἀλλὰ καὶ ἡμᾶς ἐδίδαξε τὰ κωλύματα τῆς τοιαύτης ὁδοῦ νικᾶν μέχρι τοῦ καὶ τὴν ζωὴν αὐτὴν τοῖς λαμβάνουσιν ἑτοίμως προΐεσθαι, ὅτι χωρὶς τῆς τοιαύτης ὑπομονῆς καὶ τόλμης διὰ τὸν τῆς | ἀληθείας ἔρωτα ἐν ἡμῖν οὐκ f. 46 ἂν δυναίμεθα εὑρήσειν αὐτὴν ἐν ἐκείνῳ τῷ βίῳ· δι' ὧν ἐνίκησεν ἀναστάς, ἀνεῖλε τὴν ἀκαθαρσίαν τῆς φύσεως, ὡς ἂν δυνηθῇ λοιπὸν δέξασθαι τὰ θεῖα χαρίσματα· ὑπὲρ γὰρ ὅλης τῆς φύσεως καὶ πέπονθε καὶ νενίκηκεν, ὥσπερ δήπου καὶ ἐσαρκώθη. Διὸ καὶ ἀναστάντος αὐτοῦ καὶ πρὸς τὸν οὐράνιον ἀναχωρήσαντος χῶρον, οἱ μαθηταὶ τοῦ Πνεύματος ἐπληρώθησαν,

---

8 *τε Θεός* ABDE 32 *ἐν ἡμῖν ἔρωτα* ABDE 35 *καὶ* après *φύσεως* om C
37 *ἐπληροῦντο* ABDE

ὃ πέμψειν αὐτοῖς ὑπέσχετο, διδάξον αὐτοὺς τὴν ἀλήθειαν ἀναμφισβητήτως καὶ πρὸς τοὺς ὑπὲρ αὐτοῦ, μᾶλλον δὲ τῆς κοινῆς σωτηρίας, ἀγῶνας ἐνδυναμῶσον. Εἰ δὴ Λόγος ἐστὶ τοῦ Θεοῦ ὁ Κύριος ἡμῶν Ἰησοῦς, ὡς καὶ οἱ δεξάμενοι νεωτέρας τινὰς νομοθεσίας ὁμολογοῦσι διὰ τὸ καὶ τοὺς νομοθέτας αὐτῶν τοῦτο ὁμολογεῖν οὕτως, αὐτὸς δὲ λέγει περὶ ἑαυτοῦ, ὅτι „ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωὴ καὶ ἡ ὁδός“ ἅπερ οὐχ οἷόν τε ἀπολελυμένως οὕτω λέγεσθαι εἰ μὴ περὶ τῆς θείας φύσεως μόνης (ἡ γὰρ αὐτοαλήθεια καὶ αὐτοζωὴ καὶ αὐτοαγαθότης ὁ Θεός ἐστι μόνος, ὁ δημιουργός τε καὶ αἴτιος πάσης ἀληθείας καὶ ζωῆς ταύτης τε καὶ ἐκείνης τῆς μερικῶς εὑρισκομένης ἐν τοῖς αὐτοῦ κτίσμασιν), εὔδηλον ὅτι καὶ Λόγος ἐστὶν οὐσιώδης τοῦ Θεοῦ ὁ Χριστὸς καὶ τῇ αὐτοῦ οὐσίᾳ σύμφυτος, εἰ καὶ κατὰ τὸ ὁρώμενον καὶ ἀληθὴς ἄνθρωπος ἦν, καὶ ἀκολούθως Θεός ἐστι, καὶ τὴν ἀλήθειαν ἦλθε τοὺς ἀνθρώπους διδάξων, δι᾽ αὐτὸ τὴν ἀνθρωπίνην ἐνδυσάμενος φύσιν, καὶ θήσων εἰς τὴν τῆς σωτηρίας ὁδὸν καὶ τοῦ ψυχικοῦ θανάτου ῥυσόμενος, ἃ δὴ καὶ πεπλήρωκεν. Ἀλλ᾽ οὐκ ἐδίδαξεν αὐτὸς πᾶσαν τὴν ἀλήθειαν τοὺς μαθητὰς τότε παρὼν οὐ δυναμένους τότε βαστάζειν· οὐ γάρ πω πίστις ἐνῆν αὐτοῖς περὶ αὐτοῦ βεβαία καὶ ἀναμφίβολος, ὃ δῆλον ἦν ἐκ τοῦ φυγεῖν ἀπ᾽ αὐτοῦ κατὰ τὴν αὐτοῦ πρόρρησιν ἐν τῷ πάθει, ἐνίους δὲ καὶ ἐξάρνους γενέσθαι τοῦ τελέσαι ὅλως ἐν τῷ καταλόγῳ τῶν μαθητῶν αὐτοῦ.

17. Ἔδει δέ που τελείας πίστεως ἆθλον λαβεῖν τὴν τῶν θείων ἀποκάλυψιν μυστηρίων· καὶ διὰ τοῦτο ὅτε ἔμελλον πιστότεροι τῷ Ἰησοῦ γίνεσθαι, τὴν ἀνάστασίν τε ἰδόντες αὐτοῦ καὶ ψηλαφήσαντες ἀναστάντα καὶ (ὃ μεῖζον) διὰ κεκλεισμένων εἰσεληλυθότα θυρῶν καὶ ἰδόντες ἀναληφθέντα φανερῶς εἰς τὸν οὐρανόν, τότε καὶ πέμψειν αὐτοῖς ὑπέσχετο τὸ Πνεῦμα τὸ ἅγιον, τὸ τοῦ Θεοῦ Πνεῦμα, τοῦ Πατρὸς δηλονότι καὶ ἑαυτοῦ, τὴν ἀλήθειαν πᾶσαν διδάξον, ὡς ἂν μὴ μόνον τῆς τοῦ Πνεύματος χάριτος ᾖ τὸ καλὸν ἅπαν, ἀλλὰ δὴ καὶ τῆς ἐν ταῖς ψυχαῖς ἐκείνων παρασκευῆς
f. 46v | ἐκ τῶν τηλικούτων αὐτοῖς προσειλημμένης θαυμάτων· ὧνπερ παρασκευῶν εἰ πρότερον ἠξιοῦντο, συναπέθνῃσκον ἂν τῷ Ἰησοῦ καὶ διέπιπτεν ἂν ἡ περὶ αὐτῶν ἐπαγγελία τῷ Ἰησοῦ ὡς περιοδευσόντων πάντα τὰ ἔθνη. Εἰ δὲ ἀξιούμενοι οὐ συναπέθνῃσκον, εἰκῇ ἂν ἡ ὑπερφυὴς αὐτοῖς ἐδίδοτο χάρις· εἰκῇ δὲ οὐδὲν ποιεῖ ὁ Θεός. Καὶ δὴ καὶ τῆς ὑποσχέσεως ἐγκαίρως ἐλθούσης αὐτοῖς προσδεχομένοις μετὰ βεβαίου τῆς ἐλπίδος, ἐδίδαξε μὲν αὐτοὺς τὸ Πνεῦμα τὸ θεῖον καὶ δι᾽ αὐτῶν πάντας ἀνθρώπους τὴν περὶ πάντων ἀλήθειαν, χαρισμάτων δὲ ἐπλήρωσεν ἄλλων, ὡς ἂν δι᾽ αὐτῶν δυνηθεῖεν σπεῖραι πανταχοῦ τὸν λόγον τῆς ἀληθείας πᾶσαν ὑπερνικῶντες

---

5 *οὕτως ὁμολογεῖν* ABDE Ioh. 14, 6 9 *τε* om C 23 *ἰδόντες*: *εἰδότες* A 25-26 *τὸ Πνεῦμα τὸ ἅγιον* om ABDE 29-33 *ὧνπερ παρασκευῶν — ποιεῖ ὁ Θεὸς* en marge A 34 *βεβαίας* E

δυσχέρειαν. Ἔλαβον μὲν γὰρ χάριν λόγου τε καὶ σοφίας, ἵνα τῶν Ἰουδαίων τε καὶ Ἑλλήνων ἐκπλήττωσι τοὺς σπουδαιοτέρους καὶ ἢ προσάγωνται αὐτοὺς ἢ διελέγχωσι τῇ δυνάμει τῆς ἀληθείας· ἐπὶ ταύτῃ τὸ χάρισμα τῆς θαυματουργίας, ἵνα τοῖς θαύμασι βεβαιῶσι τὴν διδασκαλίαν αὐτῶν ἐν τοῖς ἁπλουστέροις τῶν ἀκροατῶν ἢ τοῖς ὑφορωμένοις τὴν τοῦ λόγου δύναμιν καὶ μὴ θείαν εἶναι καὶ ἱερὰν διδασκαλίαν ἑτοίμως θέλουσι πείθεσθαι· ἐπὶ τούτῳ τῆς προφητείας τὸ δῶρον, ἵνα τοὺς τῶν ἀνθρώπων ὁρῶντες διαλογισμοὺς πρὸς τὰς ἐνδοτέρας καὶ ἀφανεῖς αὐτῶν ἀποκρίνωνται διανοίας καὶ ἀναποδράστως τούτους αἱρῶσιν οὐκ ἔχοντας ἱδρῦσαί που τὴν ἀπιστίαν· τὸ χάρισμα τῶν γλωσσῶν ἐπὶ πᾶσιν, ἵνα μὴ δέωνται διερμηνευτῶν τὰ διαφόρους γλώσσας ἔχοντα γένη περιοδεύοντες· οὔτε γὰρ πιστοὺς καὶ πιστῶς ἑρμηνεύσοντας, οὔτε ὅλως εὑρίσκειν ἠδύναντο ἂν ὑπὸ πενίας ἐσχάτης. Ὅθεν καὶ διὰ τούτων τῶν χαρισμάτων τοῦ θείου Πνεύματος κατωρθώθη προδήλως ἡ ὑπερφυὴς διανομὴ τοῦ σωτηρίου λόγου παρ' αὐτῶν ἐν ὅλῃ τῇ γῇ, συνεργήσαντος πρὸς τὴν τοιαύτην πανταχοῦ τῆς ἀληθείας σπορὰν τοῦ πανταχοῦ τῆς οἰκουμένης εἰρήνην τότε γενέσθαι, μοναρχήσαντος Αὐγούστου καὶ τῶν διαδόχων αὐτοῦ μετ' αὐτόν. Διὸ προεφητεύθη τε ἐκ πολλοῦ εἰρήνην ἔσεσθαι τῷ κόσμῳ, γεννωμένου τοῦ Ἰησοῦ, καὶ γέγονεν οὕτως· ἄλλως γὰρ οὐκ ἂν ἀκωλύτως καὶ ἀκινδύνως διὰ πάσης τῆς γῆς εἶχον διϊέναι τῆς ἀληθείας οἱ κήρυκες, εἰ πόλεμοι τοῖς ὁμόρροις ἔθνεσι καὶ πόλεσιν | ἦσαν περὶ ἰδίων διαφορῶν, ὥσπερ πρότερον, πρὶν f. 47 ὑποταγῆναι πάντας ἑνὶ ζυγῷ τῷ ῥωμαϊκῷ.

18. Εἴπερ οὖν ἡ γνῶσις τῆς ἀληθείας ἐτελειώθη ἐν τοῖς ἀνθρώποις δώρῳ Θεοῦ διὰ τοῦ Λόγου αὐτοῦ καὶ τοῦ Πνεύματος ἐπιδεδημηκότων αὐτοῖς, τουτέστι σωματικῶς ὀφθῆναι ἀξιωσάντων κατὰ τὰς περὶ αὐτῶν προφητείας, οὔτε χρὴ διδασκαλίαν ἄλλην ἐκδέχεσθαι τελεωτέραν, οὔτε πιστέον ἂν εἴη τοῖς λέγουσιν ἀπὸ Θεοῦ τι νομοθετεῖν τελεώτερον, καὶ πολλῷ μᾶλλον εἰ φαίνοιντο φθείροντες ἐν πᾶσιν ἢ τοῖς πλείοσι τὴν τοῦ Ἰησοῦ καὶ τῶν ἀποστόλων διδασκαλίαν. Ἡ γὰρ φθορὰ τοῦ νόμου τοῦ διὰ τοῦ Ἰησοῦ δεδομένου καὶ τῶν πρὸ αὐτοῦ νόμων φθορά ἐστιν ἐξ ἀνάγκης· εἰ γὰρ ὁ εὐαγγελικὸς οὗτος νόμος τελείωσίς ἐστι τοῦ μωσαϊκοῦ τε καὶ φυσικοῦ ὃν εἴρηται τρόπον, ἡ φθορὰ τούτου εὐλόγως καὶ πάντων ἐστὶ φθορά, ὥσπερ αὖ τοῖς ἑστῶσι μετὰ τούτου καὶ μετ' ἐκείνων ἑστάναι πάντων συμβαίνει. Εἴ τις οὖν νόμος ἐναντίος ἐστὶν ὅσον τὸ ἐφ' ἑαυτῷ καὶ φθαρτικὸς οὕτω τῶν ἐκ Θεοῦ δεδομένων νόμων, πῶς ἂν εἴη τελειότερος; Τὸ γὰρ τελειότερον ἐν τῷ ἀτελεστέρῳ πως περιέχεσθαι χρή, ὡς τὸ ὅλον φυτὸν ἐν τῷ σπέρματι· καὶ ὄντως ὁ διὰ τοῦ Ἰησοῦ νεώτερον δεδομένος νόμος ἐν τῷ παλαιῷ περιείχετο, κἀκεῖνος αὖ ἕτερον τρόπον ἐν τῷ πρώτῳ

6 *τὴν διδασκαλίαν* ADE 28 *πλείοσιν* B 34 *ἐφ' αὐτῷ* A 36 *πως* om C 37 *νεώτερον* om C 38 *νόμος* om ABDE

καὶ φυσικῷ. Τὸ δ' ἐναντίον ἀδύνατόν ἐστι περιέχεσθαι ἐν τῷ ἐναντίῳ τοῦτον τὸν τρόπον. Εἰ δὲ ἀδύνατον τελειότερον εἶναι τοῦ εὐαγγελικοῦ νόμου νόμον τινά, καὶ μάλιστα πλείους ἐναντιότητας πρὸς αὐτὸν ἔχοντα, ἀδύνατον ἄρα ἐλθεῖν τινα ἐς ἀνθρώπους τοιοῦτον ἀπὸ Θεοῦ νόμον καὶ ὅλως ἕτερον νόμον παρὰ τὸν εὐαγγελικόν. Εἰ δὲ μὴ τοῦτο, ἢ ἠγνόησεν ὁ Θεὸς ἑαυτὸν ἀντὶ τοῦ ἀρίστου καὶ τελειοτάτου νόμου τὸν ἐναντίον διδούς, ἢ τῆς τάξεως ἐπελάθετο τῆς οἰκείας διδασκαλίας τε καὶ ἰατρικῆς, ὅτι ἀπὸ τῶν ἀρίστων καὶ τελεωτάτων μαθημάτων ἢ φαρμάκων δίδωσι τοῖς ἀνθρώποις τὰ ἀτελῆ καὶ ἀπὸ τῶν πνευματικωτέρων τὰ σωματικώτερα, ἤ, ὃ μᾶλλόν ἐστι, καὶ τὰ ἐναντία, καὶ οὕτω χείρων τῶν παρὰ ἀνθρώποις ἰατρῶν τε καὶ διδασκάλων ἂν εἴη, ἅπερ ἀπείη. Ὅπως δὲ συνεχωρήθη ἐκ Θεοῦ δοθῆναι ἢ δοθήσεσθαι ἔτι νόμους τινὰς ἐξ ἀνθρώπων τοιούτους λεγόντων f. 47v | λαβεῖν αὐτοὺς ἀπὸ τοῦ Θεοῦ, ἔχομεν ἐκ τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν λόγων καὶ τούτου τὴν αἰτίαν εἰπεῖν· ἀλλὰ συντομίας χάριν παρίεμεν, τοσοῦτον λέγοντες νῦν, ὅτι καὶ τοῦτο προηγόρευται φανερῶς ἐκ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ· καὶ ταῖς ἄλλαις αὐτοῦ περὶ τῆς συντελείας προρρήσεσιν, εἴτουν τῆς ἐπὶ τὸ βέλτιον τοῦ παντὸς ἀλλοιώσεως, προσῆκον ἂν εἴη καὶ τοῦτο οὕτω συμβαίνειν.

19. Ἀλλὰ μὴν ὁ ἀληθὴς χριστιανισμὸς καὶ τῶν δοκούντων σοφωτέρων ἐν Ἕλλησι τὰ μὲν σεμνὰ περιέχει βελτίονι τρόπῳ· εἴ τι δὲ περιττὸν ἢ διεφθορός, ἀπορρίπτει. Πρῶτον μὲν γὰρ οἱ ἀπὸ Πυθαγόρου, λόγῳ τὴν μοναρχίαν τιμῶντες, ἔργῳ κατέλυον· πολλοὺς γὰρ ἄλλους θεοὺς κοινωνοὺς καὶ μερίτας τῷ Θεῷ τῆς θεότητος καὶ τῆς ἀρχῆς τῶν ὄντων ἐποίουν, διὸ καὶ σέβας ἐδίδουν αὐτοῖς. Ἀλλ' ἐν χριστιανοῖς ὁ εἷς Θεὸς ἀδόλως τε καὶ εἰλικρινῶς καὶ σοφῶς ἅμα πιστεύεται καὶ κηρύττεται· τὰ δὲ παρὰ τὸν Θεὸν πάντα, εἴτε ἐν νοητοῖς, εἴτε ἐν αἰσθητοῖς, τὴν τῶν κτισμάτων καὶ δούλων μόνην ἔχουσι τάξιν. Τὸ δὲ τῆς Τριάδος δόγμα, μή τι λυμαίνεσθαι τῇ τοιαύτῃ ἑνότητι, καὶ παρ' αὐτῶν τῶν Ἑλλήνων πολλὴν ἔχει συνηγορίαν, καὶ αὐτῶν τριάδα τινὰ ὑποτιθεμένων πρώτην ἐν τῇ θείᾳ φύσει, εἰ καὶ μὴ ὡσαύτως, ἀλλὰ χείρονι τρόπῳ καὶ πειρωμένῳ μὲν τῆς ἀληθείας, ἀποπίπτοντι δέ, οἷα τὰ ἐκείνων ἦν, τῷ μήπω καταλαμφθῆναι τῷ φωτὶ τῆς ἱερᾶς ἀληθείας διὰ Χριστοῦ. Ἔπειτα Πλάτων μὲν τελειότητα λέγει τοῦ ἀνθρωπίνου βίου τὴν ἀρετήν, Ἀριστοτέλης δέ, τὴν θεωρίαν τῆς ἀληθείας· ὁ δὲ ἡμέτερος Ἰησοῦς ζωὴν αἰώνιον εἶναι λέγει καὶ ἔσεσθαι τὴν ἄμεσον γνῶσιν τῆς ἀληθείας, κἂν τῷδε τῷ βίῳ τελειότητα τοῦ ἀνθρώπου καὶ εὐδαιμονίαν τίθησι τὴν αἰνιγματώδη γνῶσιν τῆς ἀληθείας ἅμα ταῖς κατ' ἀρετὴν ἐνεργείαις, δι' ὧν ἀμφοτέρων τάξει τινὶ βελτιούμενοι, ἱκανοὶ γινόμεθα μετὰ τὴν τῶν σωμάτων ἀπαλλαγὴν αὐτίκα τυγχάνειν τοῦ τέλους,

3 *πλείους*: *πλείονας* ADE 4 *ἐς*: *εἰς* ADE 16 *τῆς* om C 25 *καὶ σοφῶς ἅμα* om ABDE 27 *μή τι*: *μήτε* ABCD 28 *ἔχειν* ABC

καὶ γίνονται οἵ γε καλῶς ἐπιμεληθέντες. Ἔστι δέ, ὡς εἰκός, ἐν τοῖς ἀναγκαιοτάτοις δόγμασι τὸ περὶ τοῦ ἀνθρωπείου τέλους. Ἔτι δὲ περὶ τῆς πρὸς ἐκεῖνο φερούσης ὁδοῦ, Ἀριστοτέλης μὲν δυσχερές φησιν | εἶναι τὸ κατ' ἀρετὴν f. 48 ἐνεργεῖν ὥσπερ τὸ τυγχάνειν τοῦ κέντρου κατὰ τὸν κύκλον, ὅπερ ὀλίγοι ποιεῖν δύνανται· ὁ δ' ἡμέτερος Ἰησοῦς πολὺ ἐναργέστερον καὶ σοφώτερον ἀξιοῖ στενὴν εἶναι καὶ τεθλιμμένην τὴν φέρουσαν ἐπ' ἀρετὴν εἴτε ὁδὸν εἴτε πύλην, καὶ ὀλίγους εἶναι τοὺς δι' αὐτῆς ἐρχομένους διὰ τὰς σωματικὰς ἐπιθυμίας, αἷς τὸ πλεῖστον ζῇ τῶν ἀνθρώπων, ὧν οἱ ὑπεριδόντες διὰ τὴν ἀγάπην τῶν ἀϊδίων κρατήσασαν ἐν αὐτοῖς ἰσχυρῶς καὶ ἀμεταβλήτως, χρηστοῦ πάνυ αἰσθάνονται τοῦ ζύγου καὶ ἐλαφροῦ τοῦ φορτίου τῆς δοκούσης ἄλλοις ἐπιπόνου ζωῆς, ὅταν κατά τε λόγον καὶ τὸν τοῦ Ἰησοῦ νόμον ζῆν ἄρχωνται, καὶ ὡς μηδὲν φέροντες, οὕτως εὐζώνως τε καὶ σὺν ἡδονῇ καὶ ὡς δι' ἀνειμένης ὁδοῦ τρέχουσι. Καὶ Ἀριστοτέλης μὲν τὴν ἐν ταῖς πολιτικαῖς ἀρεταῖς δυσχέρειαν μόνην συνεῖδε· περὶ δὲ τῶν ἀρετῶν, αἳ καθαίρουσι καὶ ἀνάγουσι τὸν ἀνθρώπινον νοῦν πρὸς τὸν Θεόν, ᾗ ἃς ὁ ἄνθρωπος καὶ δὴ καθαρθεὶς ἐνεργεῖ καὶ θεοειδὴς γενόμενος, Πλάτων τε καὶ αὐτὸς Ἀριστοτέλης μάλιστα σχεδὸν οὐδὲν εἶπον, ἐν αἷς ἀρεταῖς ἥ τε δυσχέρεια μείζων ἐστὶν καὶ ἡ ὠφέλεια λαμπροτέρα ἀμέτρως· ζηλωταὶ δὲ τοῦ Πλάτωνος ὕστερον κοσμοῦντες αὐτόν, περὶ τοιούτων τινῶν ἁρπάσαντες ἐκ τῶν ἡμετέρων καὶ μεταπλάσαντες λέγουσιν ὡς καὶ αὐτῷ δοκοῦντα τῷ Πλάτωνι. Τίς ἔτι δυνήσεται ὑπὲρ ἀληθείας θνήσκειν ἑτοίμως καὶ σὺν ἡδονῇ ἀπὸ τῆς τῶν σοφῶν ἐκείνων διδασκαλίας, ὡς ἀπὸ τῆς τοῦ ἡμετέρου Δεσπότου; Διὰ τοῦτο ἐκεῖνοι μὲν οὐδ' ἔπεισαν οὐδένα, λόγῳ μὲν τοῦτό που ἐπαινοῦντες καὶ οὐδεμίαν θειότητα ἔχοντι, ἔργῳ δὲ οὐ παραδεικνύντες· ὁ δ' ἡμέτερος εὐεργέτης ἀναριθμήτους ἔπεισε καὶ πείσει μέχρι τῆς συντελείας· ὁμοῦ γὰρ μετὰ τῆς ἀληθείας τῶν νόμων αὐτοῦ καὶ δογμάτων εἰσδυόμενον εἰς τὰς τῶν πιστευόντων ψυχὰς τῆς ἐν αὐτοῖς θειότητος τὸ δραστήριον, εἰς τὸν ἔσχατον ἀνάγει τῆς φιλοσοφίας ὅρον ἔργῳ καὶ ἀληθείᾳ· καὶ πρὸς τούτοις αὐτὸς ἔστηκε τῆς φιλοσοφίας ταύτης ὑπόδειγμα καὶ οἱ παρ' ἐκείνου διαδεξάμενοι τὸν καλὸν ἀγῶνα περὶ τῆς ἀληθείας καὶ τῆς ἐν αὐτῇ τῶν ψυχῶν σωτηρίας.

20. Ἐπεὶ δὲ οὐ δεῖ μόνον ὀρθὴν ἔχειν δόξαν περὶ τοῦ θείου, ἀλλὰ καὶ | λατρεύειν αὐτῷ διὰ τῶν τῆς θρησκείας ἔργων, τίς νοῦν ἔχων, ἀφεὶς f. 48v τὴν πνευματικὴν καὶ σεμνοτάτην λατρείαν καὶ ἀμέσως πρὸς τὸν Θεὸν φέρουσαν αὐτοῦ χάριτι, τοῖς τῶν Ἑλλήνων θρησκεύμασι προσθήσεται τοῖς παχέσι καὶ σωματικοῖς ἐκείνοις; Μᾶλλον δὲ ποῦ καὶ πῶς νῦν θρησκεύσει καθ' Ἕλληνας, ἠφανισμένης τῇ ἐπιφανείᾳ τοῦ Ἰησοῦ τῆς ἑλληνικῆς

1 *καὶ γίνονται — ἐπιμεληθέντες* om ADE, en marge dans B 2 *δόγμασιν* ADE *ἀνθρωπίνου* ABDE 13 *τρέχουσιν* ABDE 15 *πρὸς Θεὸν* AD 20 *ὡς καὶ αὐτῷ* sic ABCD 29 *τῆς τοιαύτης φιλοσ.* ABDE

πάσης θρησκείας; Οὐδὲ γὰρ τότε οἱ Ἕλληνες ἢ ὁμοίως ἐπίστευον ἢ ὁμοίως ἐθρήσκευον, οὐδὲ νόμος τις ἦν αὐτοῖς, ἢ ἐκ Θεοῦ δοκῶν εἶναι ἢ παρ' ἀνθρώπων τεθειμένος, κοινός, ἢ ὑπὸ πάντων φυλαττόμενος ἢ τῶν πλείστων τῶν ἐν ἐκείνῳ τῷ νόμῳ ὑγιαινόντων· ἀλλ' ὥσπερ ἐν σκότῳ ψηλαφῶντες, ὃ μὲν οὕτως, ὃ δὲ ἄλλως ἐφρόνει τε καὶ ἐθρήσκευεν σὺν ὀλίγοις τοῖς αὐτῷ πειθομένοις, ὡς δὴ περὶ τὰ τοιαῦτα ὄντι δεξιωτέρῳ. Διὸ καὶ οἱ τῶν Ἑλλήνων σοφώτεροι ἐν τῷ καιρῷ τοῦ ἀποστολικοῦ, μᾶλλον δὲ οὐρανίου κηρύγματος, αὐτοὶ πρῶτοι τὴν πλάνην κατανενοηκότες τῆς συντρόφου αὐτοῖς δόξης ἐν τῷ φωτὶ τῆς χριστιανικῆς ἀληθείας, χριστιανοὶ γεγόνασιν καὶ πολλὰ κατὰ τῆς πατρίου συνεγράψαντο πλάνης σῳζόμενα μέχρι τοῦ νῦν, οἳ μὲν ἐν Ῥωμαίοις, οἳ δὲ ἐν Ἕλλησι· πλεῖστοι δὲ αὐτῶν καὶ μακροθύμως ὑπήνεγκαν τὸν ἐπαχθέντα αὐτοῖς διὰ τοῦτο θάνατον.

21. Καὶ οὕτως ἐκ τῶν εἰρημένων στενῶς τε καὶ ὅσον ἐφάψασθαι μόνον γέγονε δῆλον, ὅτι μία καὶ τελεωτάτη τῆς σωτηρίας ὁδός ἐστιν ἡ διδασκαλία τοῦ Ἰησοῦ καὶ τῶν αὐτοῦ μαθητῶν, καὶ ὅτι ἐν τῇ τοιαύτῃ ὁδῷ οἱ τῇ διδασκαλίᾳ ταύτῃ ἠκολουθηκότες γεγόνασι πάντες, καὶ ὅτι νόμος τελειότατος ἐκ Θεοῦ εἰς ἀνθρώπους ἦλθεν ὁ εὐαγγελικός, καὶ οὗτος ἀπὸ τῶν τοῦ Κυρίου Ἰησοῦ χρόνων ἄχρι καὶ νῦν ἀδιάφθορος ἐν τοῖς πανταχοῦ μένει χριστιανοῖς, ἐν οἷς, εἰ καὶ πλείους αἱρέσεις εἰσίν, οὐ τῷ διαφόροις κεχρῆσθαι εὐαγγελίοις, ἀλλὰ τῷ διαφόρως νοεῖν τὰ ὁμοίως γεγραμμένα συνίστανται· καὶ εἴ τινες λέγουσι τὸ εὐαγγέλιον μεταποιηθῆναι κατά τινα μέρη ὑπὸ χριστιανῶν, αὐτοὶ μὲν δι' οὐδενὸς ἀληθοῦς τεκμηρίου τοῦτο δεικνύναι δύνανται· ἡμεῖς δὲ πολλαῖς ἀληθεστάταις ἀποδείξεσι δεικνύναι
f. 49 δυνάμεθα, ὡς ἀμεταποίητόν ἐστιν | ἐν πᾶσι χριστιανοῖς. Οἱ δὲ λέγοντες μεταποιηθῆναι, αὐτοὶ δείκνυνται μεταποιοῦντες προσθήκαις καὶ ὑφαιρέσεσιν εἰς συνηγορίαν τῶν παρὰ σφίσιν αὐτοῖς νομοθεσιῶν, ὥσπερ καὶ οἱ ἀπὸ τῆς πολυθέου πλάνης ὁρμώμενοι τότε μετεποίουν μὲν οὐδαμῶς, κατεψεύδοντο δὲ αὐτοῦ λέγοντές τε καὶ δεικνύναι οἰόμενοι περιέχειν ἀντιφάσεις τινάς· εἷλκον γὰρ τὰ τοῦ εὐαγγελίου ῥήματα πρὸς τὸ δεῖξαι αὐτὰ ἀντιφάσκοντα ἔστιν οὗ, ἢ οὐκ εἰδότες τὴν ἀληθῆ διάνοιαν αὐτῶν, ἢ διαβάλλοντες ἑκουσίως, ὃ καὶ τοῖς αἱρετικοῖς συνέβη παθεῖν· ἐβιάσαντο γὰρ καὶ αὐτοὶ οὐκ ὀλίγας τῶν εὐαγγελικῶν ῥήσεων πρὸς συνηγορίαν τῆς οἰκείας ἕκαστοι δόξης. Ἔστι δὲ οὐδὲν ἐν τῷ κόσμῳ τῆς εὐαγγελικῆς διανοίας συμφωνότερον, ὅτι μηδὲ θειότερόν τε καὶ ἀληθέστερον. Ὁ δὲ εἷς καὶ μόνος Θεὸς ἡμῶν ἐν τριάδι προσώπων, ὁ τῆς ἀληθείας ἔφορος, ὁδηγῆσαι πάντας ἡμᾶς πρὸς τὴν γνῶσιν τῆς ἱερᾶς ἀληθείας, ἥτις μόνη ἐστὶν ἡ τελειότης τοῦ ἀνθρώπου καὶ ἡ μακαριότης. Ἀμήν: —

---

7 *ἀποστολικοῦ, μᾶλλον δὲ* om ADE 11 *Ἕλλησιν* ADE 25 *ὑφαιρέσεσιν* sic
30 *ἀληθινὴν* ABDE 35 *ἐν τριάδι προσώπων* en interligne B: om ADE

2.
Bref exposé de la foi chrétienne. *

Δεύτερον ἐδόθη τοῦτο ἀρραβικῶς, ζητήσασι συντομώτερόν τι καὶ σαφέστερον περὶ τῶν κεφαλαίων περὶ ὧν καὶ ἡ διάλεξις γέγονεν, ἤγουν περὶ τῆς ἡμῶν πίστεως· καὶ συνετέθη ὡς οἷόν τε σαφὲς καὶ εὐπαράδεκτον τοῖς ἀμυήτοις: Pantoc f. 49

1. Πιστεύομεν ὅτι ἔστι θεός, δημιουργὸς πάντων ὅσα εἰσίν, ἀπὸ τοῦ μὴ εἶναι· ὅτι οὔτε σῶμά ἐστιν, οὔτε σῶμα ἔχει, ἀλλὰ ζῇ νοερῶς, καὶ ἔστι νοῦς ἄριστος καὶ τελεώτατος καὶ σοφώτατος· ἀσύνθετός ἐστιν, ἄναρχος, ἀτελεύτητος· ἔστιν ἐν τῷ κόσμῳ καὶ ὑπὲρ τὸν κόσμον· οὐκ ἔστιν ἐν οὐδενὶ τόπῳ, καὶ ἔστιν ἐν παντὶ τόπῳ. Ταῦτα εἰσὶν ἰδιώματα τοῦ Θεοῦ, δι' ὧν χωρίζεται ἀπὸ τῶν κτισμάτων αὐτοῦ, καὶ ἄλλα ὅμοια· ἔστι σοφός, καὶ ἀγαθός, καὶ ἀληθής, καὶ αὐτὴ ἀλήθεια. Ὅσα προτερήματα ἔχουσι τὰ ποιήματα αὐτοῦ μεμερισμένως, ἔχει αὐτὸς μόνος ὑψηλότερόν τινα τρόπον· καὶ ταύτας τὰς τελειότητας ἔχουσι καὶ τὰ κτίσματα αὐτοῦ, διότι αὐτὸς δίδωσι ταύτας καὶ τοῖς κτίσμασιν αὐτοῦ. Διότι γὰρ αὐτὸς ἀγαθός ἐστι, καὶ τὰ κτίσματα αὐτοῦ ἀγαθά· διότι σοφός, σοφά· διότι ἀληθής, ἀληθῆ, καὶ τὰ ἄλλα ὁμοίως· πλὴν ὅτι, ὁ μὲν Θεὸς κυρίως ἔχει αὐτά· τὰ δὲ κτίσματα, κατὰ μετοχήν.

2. Πιστεύομεν ὅτι εἰσὶν ἐν τῷ Θεῷ ἄλλα τρία | ἰδιώματα, ἅπερ εἰσὶν ὥσπερ ἀρχαὶ καὶ πηγαὶ πάντων τῶν ἄλλων ἰδιωμάτων αὐτοῦ· καὶ διὰ τούτων τῶν τριῶν ἰδιωμάτων ζῇ ὁ Θεὸς ἀϊδίως ἐν ἑαυτῷ καὶ πρὸ τοῦ f. 49v

* B = Parisinus 1294, f. 61-64, copie autographe de Scholarios;
C = Pantocratorinus 127, f. 49-51v, copie autographe de Scholarios;
L = Lauriotanus Athonensis E. 84, f. 10-14, XVe s., porte des notes autograhes de Scholarios.

Sur les nombreuses éditions antérieures de ce morceau, voir l'introduction.

Tit. Sic dans B. Cf. t. I, p. XXIII. Titre illisible dans C. Sur le titre donné par Lampros, cf. t. I, p. XXXI. Au bas du f. 49 dans C, cette note autographe: *βν ἐδόθη τοῦτο· ἐζητήθη γὰρ ἀντὶ τοῦ πρώτου, συντομώτερον καὶ σαφέστερον.* Dans L le titre diffère notablement: *† Τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κῦρ Γενναδίου, τοῦ Σχολαρίου: δεύτερον. Ἐδόθη τοῦτο ἀπαιτήσασι παρὰ τοῦ Ἀμηρᾶ σύντομόν τι καὶ σαφὲς περὶ τῶν κεφαλαίων τῆς ἡμετέρας πίστεως περὶ ὧν καὶ ἡ διάλεξις γέγονε· καὶ ἡρμηνεύθη καὶ τοῦτο ἀρραβικῶς μετὰ τοῦ πρὸ αὐτοῦ· καὶ ἐπιγέγραπται περὶ τῆς ὁδοῦ τῆς σωτηρίας τῶν ἀνθρώπων· καὶ συνετέθη ὡς οἷόν τε σαφὲς καὶ εὐπαράδεκτον τοῖς ἀμυήτοις:* —

7 *τελειότατος* L, qui omet le premier *ἐστιν* 11 *αὐτὴ ἀλήθεια* BC, corrigé en *αὐτοαλήθεια* dans L 12 *μεμερισμένος* L *τινα* om BL 16 *καὶ ἄλλα* L 18 *ἅπερ*: *ἅτινα* L 20 *ἐν ἑαυτῷ* om L

δημιουργηθῆναι ὑπ᾽ αὐτοῦ τὸν κόσμον, καὶ διὰ τούτων ἐδημιούργησε τὸν κόσμον, καὶ διὰ τούτων κυβερνᾷ αὐτόν. Καὶ ταῦτα τὰ τρία ἰδιώματα ὀνομάζομεν τρεῖς ὑποστάσεις· καὶ διότι αὐτὰ τὰ ἰδιώματα οὐ μερίζουσι τὴν μίαν καὶ ἁπλουστάτην οὐσίαν τοῦ Θεοῦ, διὰ τοῦτο ἐστὶν ὁ Θεὸς καὶ μετὰ τῶν ἰδιωμάτων τούτων εἷς Θεός, καὶ οὐκ εἰσὶ τρεῖς θεοί.

3. Πιστεύομεν ὅτι ἐκ τῆς φύσεως τοῦ Θεοῦ ἀνατέλλουσι Λόγος καὶ Πνεῦμα, ὥσπερ ἀπὸ τοῦ πυρός, φῶς καὶ θέρμη· καὶ καθάπερ τὸ πῦρ, καὶ εἰ μή ἔστι τι τὸ φωτιζόμενον καὶ θερμαινόμενον ὑπ᾽ αὐτοῦ, ὅμως αὐτὸ τὸ πῦρ ἀεὶ ἔχει φῶς καὶ θέρμην, καὶ ἐκπέμπει φῶς καὶ θέρμην, οὕτω καὶ πρὸ τοῦ δημιουργηθῆναι τὸν κόσμον, ἦσαν ὁ Λόγος καὶ τὸ Πνεῦμα ἐνέργειαι τοῦ Θεοῦ φυσικαί, ἐπεὶ ὁ Θεὸς νοῦς ἐστιν, ὡς προείρηται· καὶ ταῦτα τὰ τρία, νοῦς καὶ λόγος καὶ πνεῦμα, εἷς θεός ἐστιν, ὥσπερ ἐν τῇ μιᾷ ψυχῇ τοῦ ἀνθρώπου ἔστι νοῦς καὶ λόγος νοητὸς καὶ θέλησις νοητή, καὶ ὅμως ταῦτα τὰ τρία εἰσὶ μία ψυχὴ κατὰ τὴν οὐσίαν. Πάλιν, τὸν Λόγον τοῦ Θεοῦ ὀνομάζομεν σοφίαν τοῦ Θεοῦ καὶ δύναμιν καὶ Υἱὸν αὐτοῦ, διότι ἔστι γέννημα τῆς φύσεως αὐτοῦ, ὥσπερ τὸ γέννημα τῆς φύσεως τοῦ ἀνθρώπου καλοῦμεν υἱὸν τοῦ ἀνθρώπου καὶ ὥσπερ τὸ νόημα τοῦ ἀνθρώπου ἐστὶ γέννημα τῆς ψυχῆς αὐτοῦ.

Πάλιν, ὀνομάζομεν τὴν θέλησιν τοῦ Θεοῦ Πνεῦμα τοῦ Θεοῦ καὶ ἀγάπην· αὐτὸν δὲ τὸν νοῦν καλοῦμεν Πατέρα, διότι αὐτός ἐστιν ἀγέννητος καὶ ἀναίτιος, αἴτιος δὲ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. Ὅτι οὖν ὁ Θεὸς οὐ νοεῖ μόνον τὰ κτίσματα αὐτοῦ, ἀλλὰ μᾶλλον νοεῖ καὶ γινώσκει ἑαυτόν, καὶ διὰ τοῦτο ἔχει λόγον καὶ σοφίαν, δι᾽ ἧς νοεῖ ἑαυτὸν ἀϊδίως· ὁμοίως οὐδὲ θέλει καὶ ἀγαπᾷ μόνον τὰ ποιήματα ἑαυτοῦ ὁ Θεός, ἀλλὰ θέλει καὶ ἀγαπᾷ ἑαυτὸν πολλῷ μᾶλλον, διὰ τοῦτο ἀϊδίως προέρχονται ἐκ τοῦ Θεοῦ ὁ Λόγος καὶ τὸ Πνεῦμα αὐτοῦ, καὶ ἀϊδίως εἰσὶν ἐν αὐτῷ· καὶ ταῦτα τὰ δύο, μετὰ τοῦ Θεοῦ, εἷς εἰσὶ θεός.

4. Πιστεύομεν ὅτι ὁ Θεὸς διὰ τοῦ Λόγου καὶ τῆς σοφίας καὶ τῆς δυνάμεως αὐτοῦ ἐδημιούργησε τὸν κόσμον, καὶ διὰ τοῦ Πνεύματος, τῆς f. 50 ἀγαθῆς θελήσεως καὶ ἀγάπης αὐτοῦ, προνοεῖται καὶ κυβερνᾷ καὶ | κινεῖ πᾶσαν φύσιν ἐν τῷ κόσμῳ πρὸς τὸ ἀγαθόν, κατὰ τὴν τάξιν ἑκάστης φύσεως. Καὶ διὰ τοῦτο πιστεύομεν, ὅτι, ὅτε ἠθέλησεν ὁ Θεὸς διὰ μόνην τὴν ἐλεημοσύνην αὐτοῦ ἐπιστρέψαι τοὺς ἀνθρώπους ἀπὸ τῆς πλάνης τῶν δαιμόνων καὶ τῆς εἰδωλολατρείας, διότι, πλὴν τοῦ ὀλίγου τόπου τῶν Ἰουδαίων, ἐν ᾧ προσεκυνεῖτο καὶ ἐπιστεύετο εἷς Θεὸς ἐκ τοῦ νόμου τοῦ Μωσέως, ἡ ἄλλη πᾶσα οἰκουμένη ἐσεβάζετο τὰ κτίσματα τοῦ Θεοῦ ἀντὶ τοῦ Θεοῦ, καὶ πολλοὺς θεοὺς τοὺς μὴ ὄντας ἀντὶ τοῦ ἑνὸς καὶ ἀληθοῦς,

---

3 *αὐτὰ* : *ταὐτὰ* C 16 *ἔστι* om C 18 *διότι* devant *ἐστὶ* add L 21 *καὶ αἴτιος δὲ* L 27 *εἰσὶ* om L 32 *ὅταν* L 36 *Μωσέως* C 37 *τοὺς μὴ ὄντας* om L

καὶ ἐπολιτεύοντο κατὰ τὰς ἰδίας ἕκαστοι ἐπιθυμίας, οὐ κατά τινα τοῦ Θεοῦ νόμον, τότε ἐποίησεν ὁ Θεὸς τὴν τοιαύτην ἀνάπλασιν τῶν ἀνθρώπων διὰ τοῦ Λόγου καὶ διὰ τοῦ ἁγίου Πνεύματος αὐτοῦ· καὶ διὰ τοῦτο ὁ Λόγος τοῦ Θεοῦ ἐνεδύθη τὴν ἀνθρωπίνην φύσιν, ἵνα ὡς μὲν ἄνθρωπος ὁμιλήσῃ ἀνθρώποις, ὡς δὲ Λόγος τοῦ Θεοῦ καὶ σοφία διδάξῃ τοὺς ἀνθρώπους πιστεύειν εἰς τὸν ἕνα καὶ ἀληθῆ Θεόν, καὶ πολιτεύεσθαι κατὰ τὸν νόμον ὃν αὐτὸς ἔδωκε· καὶ πάλιν ὡς μὲν ἄνθρωπος ἵνα δώσῃ τὴν πολιτείαν αὐτοῦ παράδειγμα τῆς διδασκαλίας αὐτοῦ· πρῶτος γὰρ αὐτὸς ἐτήρησε τὸν νόμον ὃν ἔδωκε τοῖς ἀνθρώποις· ὡς δὲ Λόγος τοῦ Θεοῦ καὶ δύναμις, δυνηθῇ κατορθῶσαι τὸ παγκόσμιον ἀγαθὸν ὅπερ ἐβούλετο, διότι ἦν ἀδύνατον δυνάμει ἑνὸς ἀνθρώπου ἐπιστρέψαι τὴν οἰκουμένην πρὸς τὸν Θεόν· Καὶ οὕτως διὰ μὲν τοῦ Λόγου αὐτοῦ ἔσπειρε τὴν ἀλήθειαν ὁ παντοδύναμος καὶ ἀόρατος Θεὸς ἐν Ἱερουσαλήμ, διὰ δὲ τοῦ Πνεύματος αὐτοῦ ἐφώτισε καὶ ἐνίσχυσε τοὺς ἀποστόλους αὐτοῦ, ἵνα σπείρωσιν αὐτοὶ τὴν ἀλήθειαν καὶ εἰς πάντα τὸν κόσμον, καὶ ἵνα καταφρονήσωσι τοῦ θανάτου διὰ τὴν ἀγάπην τοῦ πέμψαντος αὐτοὺς Θεοῦ, καὶ διὰ τὴν ἀγάπην τῆς σωτηρίας τοῦ κόσμου, κατὰ τὸ παράδειγμα τοῦ Ἰησοῦ, ὅστις ἑκουσίως ἀπέθανε κατὰ τὸ ἀνθρώπινον ὑπὲρ τοῦ σωθῆναι τὸν κόσμον. Οὕτω πιστεύομεν ἡμεῖς τὸν ἕνα Θεὸν ἐν τριάδι, Πατέρα, Υἱόν, καὶ Πνεῦμα ἅγιον, καθὼς ἐδίδαξεν ἡμᾶς ὁ Κύριος Ἰησοῦς ἡμῶν· καὶ διότι ἐστὶν ἀληθὴς καὶ αὐτοαλήθεια, πιστεύομεν ὅτι ἐστὶ καὶ αὐτὸ ἀληθές, καὶ οἱ μαθηταὶ αὐτοῦ οὕτως ἐδίδαξαν ἡμᾶς πλατύτερον. Οὕτω νοοῦμεν καὶ ἀπὸ τῆς δυνάμεως τῆς σοφίας.

5. Πιστεύομεν ὅτι ὁ Λόγος τοῦ Θεοῦ καὶ ὁ ἄνθρωπος, ὃν ἐνεδύθη ὁ Λόγος τοῦ Θεοῦ, ἐστὶν ὁ Χριστός· καὶ ἡ μὲν ζωὴ τοῦ Χριστοῦ | ἐν τῇ f. 50v
σαρκὶ αὐτοῦ ἦν ζωὴ ἀνθρώπου ὑπεραγίου, ἡ δὲ δύναμις τῆς σοφίας καὶ τῶν ἔργων αὐτοῦ ἦν Θεοῦ δύναμις.

6. Πιστεύομεν ὅτι, ὥσπερ ἡ ψυχὴ καὶ τὸ σῶμα τοῦ ἑνὸς ἀνθρώπου γίνεται εἷς ἄνθρωπος, οὕτως ὁ Λόγος τοῦ Θεοῦ ἀφ' ἑνὸς μέρους, καὶ ἀπ' ἄλλου μέρους ἡ ψυχὴ καὶ τὸ σῶμα τοῦ Υἱοῦ τῆς ἁγίας Μαρίας ἦν ἓν πρόσωπον ὁ Χριστός· ἀλλὰ ὥσπερ ἡ ψυχὴ καὶ τὸ σῶμά εἰσι πάντοτε δύο φύσεις μεμερισμέναι τελείως ἐν τῷ ἑνὶ ἀνθρώπῳ, οὕτω καὶ ἡ ἀνθρωπότης καὶ ἡ θεότης εἰσὶν ἐν τῷ ἑνὶ Χριστῷ μεμερισμέναι τελείως· καὶ οὔτε ὁ Λόγος τοῦ Θεοῦ μετεβλήθη εἰς τὴν σάρκα ἢ τὴν ψυχὴν τοῦ Χριστοῦ, οὔτε ἡ σὰρξ τοῦ Χριστοῦ ἢ ἡ ψυχὴ αὐτοῦ μετετράπη εἰς Λόγον Θεοῦ, ἀλλὰ

3 *Λόγου αὐτοῦ* L 7 *μὲν* om L 9 *καὶ πάλιν ὡς Λόγος* L 16 *ἀγάπην της ἀληθείας ἣν ἐδίδασκον, καὶ διὰ τὴν ἀγάπην τοῦ πέμψαντος* L **20-21** *καὶ αὐτοαλήθεια* om BL 32 *μεμερισμέναι τελείως* om L *ἑνὶ* om L **32-33** *οὕτω καὶ — ἑνὶ Χριστῷ: οὕτω καὶ πολλῷ πλέον ὁ Λόγος τοῦ Θεοῦ καὶ ὁ ἄνθρωπος ἐν τῷ Χριστῷ ἦσαν δύο φύσεις* L 34 *ἢ εἰς τὴν ψυχήν* L

ἀεὶ ἦν καὶ ἔστιν ἐν τῷ Χριστῷ ὁ μὲν τοῦ Θεοῦ Λόγος, Λόγος τοῦ Θεοῦ, ἡ δὲ ἀνθρωπότης, ἀνθρωπότης· καὶ ὅτι οὐ προσέλαβεν ἡ ἀνθρωπότης τοῦ Χριστοῦ τὴν θεότητα, ἀλλ' ἡ θεότης τοῦ Λόγου τοῦ Θεοῦ προσέλαβε τὴν ἀνθρωπείαν φύσιν ἐν αὐτῷ τῷ προσληφθῆναι συστᾶσαν. Πᾶν ὅπερ ἐστὶν ἐν τῷ Θεῷ καὶ ἐκ τοῦ Θεοῦ φυσικῶς, Θεός ἐστι, διότι οὐκ ἔστιν ἐν τῷ Θεῷ συμβεβηκός· καὶ διὰ τοῦτο τὸν νοητὸν Λόγον τοῦ Θεοῦ Θεὸν ὀνομάζομεν καὶ πιστεύομεν· καὶ διότι οὗτος ὁ Λόγος τοῦ Θεοῦ ἦν ἐν τῷ Χριστῷ, διὰ τοῦτο τὸν Χριστὸν Θεὸν καὶ ἄνθρωπον ὁμολογοῦμεν, ἄνθρωπον μὲν διὰ τὴν ψυχὴν καὶ τὸ σῶμα, Θεὸν δὲ διὰ τὸν ἐν αὐτῷ Λόγον τοῦ Θεοῦ.

7. Πιστεύομεν ὅτι ὁ Λόγος τοῦ Θεοῦ ἦν ἐν τῷ Χριστῷ καὶ ἐν τῷ κόσμῳ καὶ ἐν τῷ οὐρανῷ καὶ ἐν τῷ Θεῷ καὶ Πατρί, διότι ὁ Λόγος τοῦ Θεοῦ ἐστιν ἄπειρος, ὥσπερ καὶ ὁ Θεός ἐστιν ἄπειρος, ὁ γεννῶν αὐτὸν ἤγουν, νοῶν, καὶ ἄπειρον δύναμιν ἔχει· πλὴν ἐν τῷ Θεῷ, κατὰ ἄλλον τρόπον ἦν, καὶ ἐν τῷ Χριστῷ κατὰ ἄλλον, καὶ ἐν τῷ κόσμῳ κατὰ ἄλλον.

8. Πιστεύομεν ὅτι, ὅταν ὁ Θεὸς κοινωνῇ τῆς ἀγαθότητος αὐτοῦ καὶ τῆς χάριτος κτίσματί τινι, οὐδαμῶς ζημιοῦται, ἀλλὰ μᾶλλον μεγαλύνεται, διότι ἐκ τῆς ἀρετῆς τῶν κτισμάτων τὸ ὕψος τοῦ Θεοῦ φανεροῦται· καὶ ὅσῳ μᾶλλον βελτιοῦται τὸ κτίσμα τῇ πλείονι κοινωνίᾳ τῆς ἀγαθότητος αὐτοῦ, τοσούτῳ πλέον ἡ ἀγαθότης τοῦ Θεοῦ καὶ ἡ δύναμις δείκνυται. Διὰ τοῦτο ἡ ἀγαθότης τοῦ Θεοῦ καὶ ἀγάπη εἰς τοὺς ἀνθρώπους πλέον ἐμεγα-
f. 51 λύνθη ἐκ τοῦ ἐλθεῖν τὸν Λόγον αὐτὸν | τοῦ Θεοῦ καὶ Θεὸν μετὰ πάσης αὐτοῦ τῆς δυνάμεως εἰς τὸν Ἰησοῦν ἢ ὅτε ἔπεμπεν εἰς τοὺς προφήτας μίαν χάριν αὐτοῦ ἢ δύο, καὶ εἰς ἄλλον μὲν προφήτην ἐλάττονα, εἰς ἄλλον δὲ μείζονα.

9. Πιστεύομεν ὅτι ὁ Κύριος ἡμῶν ὁ Χριστὸς ἐσταυρώθη καὶ ἀπέθανεν οἰκείῳ θελήματι διὰ πολλὰς καὶ μεγάλας ὠφελείας, δεομένας πολλῶν λόγων, καὶ πάντα ταῦτα κατὰ τὸ ἀνθρώπινον αὐτοῦ· ὁ γὰρ Λόγος τοῦ Θεοῦ οὔτε σταυροῦται, οὔτε ἀποθνήσκει, οὔτε ἀνίσταται, ἀλλὰ μᾶλλον ἀνίστησιν αὐτὸς τοὺς νεκρούς, ὥσπερ ἀνέστησε καὶ τὴν σάρκα ἣν ἐφόρεσε.

10. Πιστεύοπεν, ὅτι ὁ Χριστὸς ἀναστὰς ἀνελήφθη εἰς τοὺς οὐρανούς, καὶ πάλιν μέλλει ἔρχεσθαι μετὰ δόξης, ἵνα κρίνῃ τὸν κόσμον.

11. Πιστεύομεν ὅτι αἱ ψυχαὶ τῶν ἀνθρώπων εἰσὶν ἀθάνατοι· ὅτι τὰ σώματα τῶν ἁγίων ἀναστήσονται ἄφθαρτα, ἀπαθῆ, φωτεινά, ἐλαφρά, μήτε τροφῆς χρῄζοντα ἢ πόσεως, μήτε ἐνδύματος, μήτε ἄλλης τινὸς σωματικῆς ἡδονῆς· καὶ ὅτι αἱ ψυχαὶ καὶ τὰ σώματα τῶν καλῶς πιστευόντων καὶ καλῶς πολιτευομένων ἀπελεύσονται εἰς τὸν παράδεισον, τῶν δὲ ἀμετανοήτως πονηρῶν εἰς τὴν κόλασιν· καὶ ἡ μὲν ἀπόλαυσις τῶν ἁγίων ἔστιν ἐν οὐρανῷ

---

1 2e *τοῦ* om L 25 *ὁ Κύριος ἡμῶν* om BL 27 *αὐτοῦ* om L 33 *ἀπαθῆ* om L 37 *ἐν τῷ οὐρανῷ* L

(οὗτος γάρ ἐστι νῦν ὁ παράδεισος), ἡ δὲ κόλασις τῶν πονηρῶν ἐν τῇ γῇ· καὶ ἡ ἀπόλαυσις τῶν ἁγίων οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ ὅτι τελειωθήσονται αἱ τοιαῦται ψυχαὶ εἰς τὴν γνῶσιν, καὶ τότε θεωρήσουσι τὰ μυστήρια τοῦ Θεοῦ, ἃ νῦν οὐ γινώσκουσιν εἰ μὴ διὰ πίστεως.

12. Διατί δὲ ἦν ἀναγκαῖον σαρκωθῆναι τὸν Λόγον τοῦ Θεοῦ καὶ Θεόν, εἰσὶν ἀναγκαῖοι καὶ πολλοὶ λόγοι· καὶ ὅταν ᾖ χρεία, ἐσμὲν ἕτοιμοι δοῦναι αὐτούς, εἰ καὶ ἐκ μέρους ἐδώκαμεν. Ἐπέκεινα δὲ ἐκείνων τῶν λόγων πληροφοροῦσιν ἡμᾶς τὴν ἀλήθειαν τῆς πίστεως ἡμῶν τὰ ἑπτὰ ταῦτα·

Πρῶτον, ὅτι προεφήτευσαν οἱ προφῆται τῶν Ἰουδαίων, οὓς στέργομεν καὶ ἡμεῖς, τὸν Ἰησοῦν, καὶ ὅσα ἐποίησε, καὶ ὅσα ἐγένοντο ἐπ' αὐτῷ, καὶ ὅσα ἐποίησαν ὕστερον οἱ μαθηταὶ αὐτοῦ τῇ δυνάμει αὐτοῦ· ὁμοίως προεφήτευσαν καὶ τὰ μαντεῖα τῶν Ἑλλήνων, συγχωρήσει Θεοῦ, καὶ οἱ ἀστρονόμοι τῶν Περσῶν καὶ Ἑλλήνων, καὶ ταῦτα πάντα, | μετὰ εὐφημίας μεγάλης f. 51v
τοῦ Ἰησοῦ· καὶ ὅτι πᾶσαι αὗται αἱ προφητεῖαί εἰσιν ἀπαράγραπτοι, ἔχομεν δεῖξαι.

Δεύτερον, ὅτι αἱ γραφαὶ πᾶσαι τῆς πίστεως ἡμῶν συμφωνοῦσιν ἐν πᾶσι, διότι εἶχον οἱ γράψαντες αὐτὰς ἕνα διδάσκαλον, τὴν χάριν τοῦ Θεοῦ· ἄλλως γὰρ ἔμελλον διαφωνεῖν.

Τρίτον, ὅτι ἐδέξαντο ταύτην τὴν πίστιν νέαν οὖσαν καὶ παράδοξον οἱ ἄνθρωποι πανταχοῦ μετὰ σπουδῆς καὶ μετὰ κινδύνων πολλῶν, καὶ οὐ μόνον ἰδιῶται, ἀλλὰ καὶ οἱ φρόνιμοι καὶ οἱ σοφοί· καὶ διὰ τοῦτο κατελύθη τελείως ἡ πλάνη τῶν Ἑλλήνων.

Τέταρτον, ὅτι ἡ πίστις αὕτη οὐδὲν περιέχει ἀδύνατον, οὐδὲν ἀσύμφωνον, οὐδὲν σωματικόν, ἀλλὰ πάντα πνευματικά, καὶ ἔστιν ὁδὸς φέρουσα τὰς ψυχὰς τῶν ἀνθρώπων εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ τῆς αἰωνίου ζωῆς τῆς μελλούσης.

Πέμπτον, ὅτι ὅσοι ἔλαβον ταύτην τὴν πίστιν καὶ ἐπολιτεύσαντο ἐναρέτως κατὰ τὸν τοῦ Ἰησοῦ νόμον, ἔλαβον μεγάλα χαρίσματα ἐκ τοῦ Θεοῦ, καὶ δυνάμεις ἐποίησαν πολλὰς ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ· ὅπερ οὐκ ἂν ἦν, εἰ ἡ πίστις αὕτη ἦν ἐναντία τῇ ἀληθείᾳ.

Ἕκτον, ὅτι ὅσα λέγουσί τινες κατὰ τῆς πίστεως ταύτης, δυνάμεθα λύειν εὐκόλως καὶ εὐλόγως.

Ἕβδομον, ὅτι τῇ πίστει ἐπολέμησαν διὰ πολλῶν τιμωριῶν καὶ φόνων οἱ βασιλεῖς τότε καὶ οἱ ἔπαρχοι αὐτῶν ἐν τῇ οἰκουμένῃ, τιη´ χρόνους, πολύθεοι ὄντες καὶ εἰδωλολάτραι, καὶ οὐδὲν ἴσχυσαν, ἀλλὰ ἐνίκησεν ἡ

---

1 *οὗτος γάρ — παράδεισος* en marge B: om L 3 *αἱ ψυχαὶ αἱ τοιαῦται* BL 7 *εἰ καὶ — ἐδώκαμεν* om BL 8 *ταύτης* après *ἡμῶν* add L 9 *πρῶτον* ainsi que *δεύτερον, τρίτον κτλ.* om L 12 *συγχωρήσει Θεοῦ* om L 14 *αὗται πᾶσαι* BL 25-26 *καὶ τῆς μελλούσης ζωῆς* sans *τῆς αἰωνίου* BL 28 *κατὰ τὸν — νόμον* om L 34 *οἰκουμένῃ πάσῃ* L

πίστις, καὶ διαμένει μέχρι τοῦ νῦν· καὶ ἐλθὼν ὁ Κύριος, εὑρήσει αὐτήν. Καὶ εἰ μὴ ἦν ἡ πίστις αὕτη ἐκ θελήματος τοῦ Θεοῦ, διελύθη ἂν τότε εὐκόλως. Αὐτῷ τῷ Θεῷ δόξα, ἀμήν: —

† Ἰστέον, ὅτι τοῖς ἀμυήτοις τὴν ἀρχὴν εὐπαραδεκτοτέρως μᾶλλον ἢ ἀκριβεστέρως δεῖ τὰ ὑπερφυᾶ τῆς πίστεως ἡμῶν διδόναι μαθήματα, ὡς ἐνταῦθα γέγονεν, καὶ σαφεστέρως, ἵνα καὶ δυνηθῶσι ῥᾷον μεταγλωττισθῆναι, ὥσπερ καὶ ἡρμηνεύθησαν καλῶς ταῦτα ἀρραβικῶς: —

3.

Demandes et réponses sur la divinité de Notre-Seigneur Jésus-Christ (1470).*

Paris. 1289 f. 260 : Γενναδίου μοναχοῦ τοῦ Σχολαρίου ἐν τῇ μονῇ τοῦ τιμίου Προδρόμου.

† Ἐρωτήσεις καὶ ἀποκρίσεις περὶ τῆς θεότητος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

1. Πρὸς τῷ τέλει τοῦ μαΐου τῆς νῦν ἤδη ληγούσης ἰνδικτιῶνος, στρατιώτης αἴφνης ἡμῖν ἐλθὼν ἀπαραίτητος μετὰ προσταγῆς ἐγγράφου ἀπαραιτήτου, κατήγαγε μὲν ἐκ τῆς μονῆς ταύτης ἐπὶ τὴν πόλιν Φερρῶν, κἀκεῖθεν ἐπὶ τὸ πεδίον ἐγγὺς τῆς πόλεως· προσήγαγε δὲ δυοῖν τῶν τὰ μέγιστα δυναμένων τῷ νεωτέρῳ ἅμα δὲ καὶ λογιωτέρῳ· οὕτω γὰρ ἐκελεύσθη παρὰ τοῦ πέμψαντος. Ἡδέως οὖν ἡμᾶς ἰδών, ἐπύθετο μὲν πρῶτον περὶ ἡμῶν εὐμενῶς, ὅπως ἔχομεν· εἶτα περὶ τῆς ἡμῶν ἤρξατο πυνθάνεσθαι πίστεως, ὡς τούτου χάριν καὶ προσαχθέντων.

Εἶπε τοίνυν·

Ὑμεῖς οἱ χριστιανοί, τὸν Χριστὸν λέγετε καὶ Θεὸν εἶναι, καίτοι γε ἄνθρωπον ὄντα καὶ ἐκ Μαρίας γεννηθέντα τῆς παρθένου. Ἀπόδος οὖν

---

* A = Parisinus 1289, f. 260-269, copie autographe de Scholarios;
B = Pantocratorinus 127, f. 200-210 (en réalité f. 190-200), copie autographe de Scholarios.

Tit. La suscription *Γενναδίου — Προδρόμου* vient de B. A et B portent dans la marge supérieure l'indication *ἰνδ. γ̄ = ἰνδικτιῶνος τρίτης,* qui correspond à l'année 1470. Ce ne peut être l'année 1455, car cet opuscule est postérieur au *Traité contre les Juifs,* composé en 1464. Voir plus bas, p. 470, 28.

---

1 *πίστις ἐν τῷ κόσμῳ* L 2 *τότε* om L 4-7 om L 4 *σημειῶσαι* en marge B *τοῖς* om C 5 *τὴν ἀρχὴν* après *ἀκριβεστέρως* B *ὑπερφυῆ* B 6 *ἐνταῦθα*: *ἐν τῇ ἐκθέσει ταύτῃ* B, qui porte *ἀμήν* après *γέγονεν* et omet le reste 20 *ἰνδικτιόνος* AB

ἡμῖν τὸν λόγον καὶ τὴν αἰτίαν τῆς τοιαύτης ἐν ὑμῖν περὶ τοῦ Χριστοῦ δόξης.

Ἡμεῖς, εἶπον, ὦ κύριε ἐνδοξότατε, ὁπόταν τὸν δεσπότην ἡμῶν Ἰησοῦν καλῶμεν Χριστόν, καὶ Θεὸν αὐτὸν λέγομεν· τῷ γὰρ Χριστός ὀνόματι Θεὸς σημαίνεται καὶ ἄνθρωπος· καὶ τούτου δώσομέν σοι τὸν λόγον, ὁπόταν κελεύῃς· νῦν δὲ περὶ τῆς τοιαύτης ἐν ἡμῖν δόξης ἀποκρινούμεθα.

Ἡμεῖς τοίνυν πρὸς μὲν ἡμᾶς αὐτοὺς σκοπούμενοι ἢ πρὸς ὁμοδόξους θεολογοῦντες, οὐδεμίαν χρείαν ἔχομεν λόγων καὶ ἀποδείξεων περὶ τῆς τοῦ Χριστοῦ θεότητος, ἀλλὰ ταύτης ὑποτεθειμένης ἡμῖν ὡς δόξης ἀληθεστάτης, οὕτω τὰ ἄλλα πραγματευόμεθα, περὶ ὧν ἂν γίνοιτο χρεία, ἀκολουθοῦντα κἀκεῖνα τῇ τοιαύτῃ περὶ Χριστοῦ δόξῃ· πρὸς δὲ τοὺς ἀντιδοξοῦντας καὶ διὰ τοῦτο ἡμῖν ἀντιλέγοντας τῇ δυνάμει τῆς παρ' ἡμῖν ἀληθείας ἔχομεν ἀποκρίνεσθαι καὶ λόγους καὶ αἰτίας τῆς δόξης ταύτης διδόναι· ἂν δὲ αὐτοὶ πειρῶνται ἀδύνατον δεικνύναι τὸ τὸν Χριστὸν Θεὸν εἶναι, δείκνυμεν ὡς οὐκ ἔστιν ἀδύνατον, τοὺς ἐκείνων λύοντες λόγους· εἶτα καὶ ὅτι πάνυ ἀναγκαῖόν ἐστιν, ὁδῷ προβαίνοντες δείκνυμεν. Ἐπεὶ τοίνυν οὐκ ἀντιτίθησιν ἡ σὴ ἐνδοξότης νῦν τῇ τοιαύτῃ ἡμῶν δόξῃ περὶ Χριστοῦ, πυνθάνῃ δὲ μόνον πῶς καὶ διατί τὸν Χριστὸν καὶ Θεόν, οὐ μόνον ἄνθρωπον, δοξάζομεν εἶναι, πρὸς τοῦτο ἀποκρινόμεθα, ὅτι ἡμεῖς πίστει, τουτέστιν ἀληθεστάτῃ πληροφορίᾳ περὶ τῆς ἐν τῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν θεότητος, πεπιστεύκαμεν | καὶ πιστεύομεν, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς καὶ f. Θεός ἐστιν ἀληθῶς καὶ ἄνθρωπος.

Καὶ τίνι, εἶπε, θεμελίῳ τὴν πίστιν ταύτην ἐρείδετε περὶ πράγματος παραδοξοτάτου καὶ τοῖς πολλοῖς τῶν ἀνθρώπων ἀσυμβάτου τε καὶ ἀδυνάτου διὰ τοῦτο δοκοῦντος;

2. Οἶδε καλῶς ἡ σὴ σύνεσις, ἔφην ἐγώ, ὅτι τὸ τῆς πίστεως χρῆμα πολλὴν ἔχει δύναμιν πρὸς τὴν τελείωσιν τῆς ἀνθρωπίνης γνώσεως, οὐ περὶ τῶν θείων πραγμάτων μόνον καὶ ἀφανῶν καθ' ἑαυτά, ἀλλὰ καὶ περὶ τῶν φανερῶν ἔργων τοῦ Θεοῦ ἐν τῷδε τῷ κόσμῳ· τὰ μὲν γάρ εἰσιν αἰσθητὰ καθ' αὐτά, καὶ τῇ αἰσθήσει διὰ τοῦτο ἀρκούντως γνωρίζεσθαι δύνανται· ἀλλ' οὐ πάντες ἄνθρωποι γινώσκουσιν αὐτὰ τῇ αἰσθήσει τῇ ἑαυτῶν· οὐ γὰρ δύνανται πᾶσιν αὐτοῖς παρεῖναι· ἱστορούντων δὲ ἄλλων τῶν ἰδόντων, καὶ ἄλλων ἄλλα ἑωρακότων καὶ ἱστορούντων, καὶ οἱ λοιποὶ γινώσκουσι περὶ αὐτῶν τἀληθὲς διὰ τὴν πρὸς τοὺς ἱστορηκότας τε καὶ ἀπαγγείλαντας πίστιν. Καὶ ὁπόσοις δὲ τῶν φαινομένων καὶ αἰσθητῶν πάρεσμεν, ὁπόταν τῇ αἰσθήσει μόνῃ τὴν περὶ αὐτῶν ἀλήθειαν κατέχειν νομίζωμεν, ἀπατώμεθα· πιστεύοντες δὲ τοῖς σοφοῖς διδάσκουσιν ἡμᾶς, τὴν ἐγκεκρυμμένην αὐτοῖς ἀλήθειαν εἰδέναι δυνάμεθα. Τῇ αἰσθήσει μὲν γὰρ ποδιαῖον εἶναι

24 τε om B

τὸν ἥλιον κρίνουσιν οἱ πολλοί· τοῖς δὲ σοφοῖς οἱ πειθόμενοι ἴσον τῇ γῇ, ἢ κατ' ἐνίους καὶ μείζω πιστεύουσιν αὐτὸν εἶναι. Οἱ δὲ σοφοὶ οὐ πιστεύοντες ἄλλῳ λέγοντι, τῷ δὲ λόγῳ ἀγόμενοι, αὐτοί τε οὕτω φρονοῦσι καὶ ἄλλους πείθειν ἐθέλουσι, καὶ αὐτοὶ σοφοὶ γεγονότες οὐκ ἄνευ μαθήσεως, οὐδὲ μαθόντες ἂν εἰ μὴ τῷ δοῦναι πίστιν τὴν ἀρχὴν τοῖς διδάσκουσι· καὶ τῶν θεωρητικῶν γὰρ ἐπιστημῶν τὰς ἀρχὰς ἀναποδείκτως τίθησιν ὁ διδάσκων, καὶ ὁ διδασκόμενος ἀνεξετάστως λαμβάνει· τῶν δὲ ἀρχῶν οὕτω προϋποτεθειμένων καὶ πίστει ληφθεισῶν, τὰ ἐφεξῆς ζητοῦνται καὶ δείκνυνται ἐκ τῶν ἀρχῶν τούτων ὡς ἑπόμενα αὐταῖς. Πολλῷ τοίνυν μᾶλλον ἐπὶ τῶν θείων πραγμάτων καὶ οὐ τῇ αἰσθήσει μόνον ἀφανῶν, ἀλλὰ καὶ τὸν ἀνθρώπινον νοῦν καὶ λόγον ὑπερβαινόντων, ἀναγκαῖον χρῆμα ἡ πίστις πέφυκεν, ἐπείπερ ἠθέλησεν ὁ Θεὸς τελειοῦν καὶ ἐν τῇ ζωῇ ταύτῃ, ὡς δυνατόν ἐστι, τὸν ἀνθρώπινον νοῦν, καὶ μάλιστα τὸν σπουδαῖον οὐ τῇ ἀληθεῖ γνώσει μόνον τῶν αἰσθητῶν καὶ ἔργων αὐτοῦ, ἀλλὰ δὴ καὶ τῇ
f. 261 γνώσει τῆς περὶ αὐτὸν ἀληθείας, | ἥτις γνῶσις θεολογία λέγεται καὶ πρώτη σοφία. Ἔφην δὲ ὡς δυνατόν ἐστιν ἐνταῦθα, διὰ τὸ τὴν τελείωσιν τῆς τοιαύτης γνώσεως ἐν τῷ μέλλοντι αἰῶνι τοῖς ἀξίοις ταμιεύεσθαι. Ὥσπερ οὖν τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν ἡ περὶ τὴν ἀνθρωπίνην σοφίαν σπουδὴ τοῖς σοφοῖς καὶ δι' αὐτῶν τοῖς ἄλλοις ἐγνώρισε καὶ γνωρίζει τοῖς ζητοῦσι καὶ πυθομένοις, οὕτω καὶ τὴν περὶ τῶν θείων ἀλήθειαν ἔγνωσαν μὲν οἱ τῇ θείᾳ σοφισθέντες σοφίᾳ, ὡς οἷόν τε ἦν αὐτὴν ἐνταῦθα γνωσθῆναι, οἷς ἀπεκάλυψεν αὐτὴν ὁ Θεὸς διὰ τὴν ὑπερβάλλουσαν ἐν αὐτοῖς ἀρετὴν καὶ φιλοθεΐαν οὐ μόνον τὴν αὐτῶν τιμῶν ἀρετὴν οὕτως, ἀλλὰ καὶ τοὺς ἄλλους δι' αὐτῶν ὠφελῶν· γινώσκουσι δὲ καὶ οἱ θέλοντές τε καὶ δυνάμενοι προσέχειν αὐτοῖς. Καὶ ἵνα τὸν περὶ τῆς πίστεως λόγον καὶ γενικώτερον ἀποδῶμεν ἐν τοῖς περὶ τῶν θειοτέρων πραγμάτων μαθήμασι, φανερόν ἐστιν ὅτι περὶ τῶν θείων οὐκ ἀληθεῖς μόνον δόξαι γεγόνασι καὶ εἰσὶν ἐν τῷ κόσμῳ, ἀλλὰ καὶ ψευδεῖς· ἐκράτησαν δὲ καὶ αἱ ψευδεῖς ἐν πολλοῖς τε τῶν ἀνθρώπων καὶ μέχρι πολλοῦ διὰ τὸ πιστευθῆναι τοὺς εὑρετὰς τῶν τοιούτων δοξῶν· ἐπιστεύθησαν δὲ δοξασθέντες πρότερον εἶναι θεοφιλεῖς, καὶ διὰ τοῦτο ἐμπνευσθῆναι ὑπὸ Θεοῦ, οὐκ ὄντες τοιοῦτοι· ἡ γὰρ τῶν ἀνθρώπων περὶ ταῦτα κρίσις οὐκ ἀεί ἐστιν ἀσφαλής· ἀπατῶνται δὲ μάλιστα οἱ μὴ δυνάμενοι κατανοεῖν δι' ἀμβλύτητα διανοίας ἢ δι' ὑπερβάλλουσαν τῶν διδασκόντων ὑπόκρισιν, ἢ δι' ἄλλας αἰτίας, ἃς οὐ χρεία νῦν κατὰ μέρος διεξιέναι. Ἀλλ' αἱ ἀληθεῖς περὶ Θεοῦ καὶ τῶν θείων δόξαι ἐξ ἀληθοῦς πρὸς τοὺς διδάσκοντας πίστεως ἐν τοῖς ἀκηκοόσι, φρονίμοις οὖσιν, ἐκράτησάν τε καὶ ηὐξήθησαν, καὶ ἡ πρὸς τοὺς τοιούτους πίστις πρὸς τὸν Θεὸν ἦν ἀληθῶς· οὐ γὰρ ὡς οἴκοθεν εὑρηκότες, ἀλλ' ὡς θεόθεν ἐμπνευσ-

4 *ἐθέλουσιν* A 5 *διδάσκουσιν* A 8-9 *δεικνύονται* A

θέντες ἐδίδασκον καὶ ἐνομοθέτουν, καὶ πιστεύεσθαι ἦσαν ἄξιοι διὰ τὴν ἀνυπόκριτον αὐτῶν ἀρετὴν καὶ ὑψηλὴν θεοφίλειαν· ἠκολούθουν δὲ τῇ τοιαύτῃ θεοφιλείᾳ αὐτῶν καὶ αἱ παρὰ Θεοῦ μαρτυρίαι διὰ σημείων πολλῶν καὶ θαυμάτων, ἃ ἐπ' αὐτοῖς ὁ Θεὸς ἐποίει καὶ δι' αὐτῶν. Διὰ ταῦτα οἱ πιστεύοντες αὐτοῖς οἰκείως ἐπίστευον ὡς ἐκ Θεοῦ προδήλως ἐμπνεομένοις.

3. Τούτων προϋποτεθειμένων περὶ πίστεως, ἐρχόμεθα λοιπὸν πρὸς τὴν ἐρώτησιν. Ὁ θεμέλιος τοίνυν τῆς ἡμετέρας πίστεως περὶ τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ θεότητος, ἡ περὶ αὐτοῦ ἀγαθὴ δόξα γέγονε | καὶ ἔστι τοῖς πρώτοις αὐτῷ πιστεύσασι καὶ μέχρι τοῦ νῦν πιστεύουσιν f. 26 ἐκ διαδοχῆς· οἱ γὰρ ἐπιγινόμενοι ἀεὶ προσθήκην ποιοῦνται τῇ ἀγαθῇ περὶ τοῦ Κυρίου ἡμῶν δόξῃ καὶ τὴν φανερὰν ἐπ' ἀρετῇ καὶ σοφίᾳ δόξαν τῶν αὐτῷ πιστευσάντων. Τὴν δὲ ἀγαθὴν περὶ αὐτοῦ δόξαν οὐ χρεία νῦν ἀποδείξεσι βεβαιοῦν, οὐδὲ ὑφ' ὑμῶν ἀμφιβαλλομένην· εἰ γὰρ Ἰουδαῖοι εἰς αὐτὸν ἐβλασφήμουν καὶ νῦν ἔτι βλασφημοῦσιν οἱ ἐκείνων ἔκγονοι, πολὺ φαυλοτέραν τῶν προγόνων ἀναισθησίαν νοσοῦντες, ἀλλ' ὑμεῖς, ἐλάττω μὲν ἢ ἡμεῖς οἱ χριστιανοί, ἀγαθὴν δὲ ὅμως περὶ αὐτοῦ δόξαν ἔχετε· ἄνθρωπον γὰρ ἅγιον αὐτὸν καὶ προφήτην καὶ λόγον Θεοῦ καὶ πνοὴν Θεοῦ καὶ τοιαῦτα πολλὰ περὶ αὐτοῦ ἔνδοξα καὶ φρονεῖτε καὶ λέγετε.

Τοιούτῳ τοίνυν ὄντι καὶ καθ' ὑμᾶς, κατά γε τὴν φαινομένην πᾶσιν αὐτοῦ ἀνθρωπότητα (τὰ γὰρ μείζω νῦν ἀναβεβλήσθω), πῶς οὐ δίκαιον πιστεύειν ἡμᾶς ἐν οἷς εἶπε, καὶ ἀληθῆ πάντα ἡγεῖσθαι χωρὶς ἀμφιβολίας ἡστινοσοῦν, καὶ οὐδὲ ἁπλῶς ἀληθῆ, ἀλλὰ ἔνθεα καὶ ἱερά, οἷα εἰκός ἐστι λέγειν τὸν ὄντα Λόγον Θεοῦ καὶ πνοὴν Θεοῦ καθ' ὑμᾶς; Εἰ δὲ δεῖ πιστεύειν ἡμᾶς αὐτῷ διὰ τοῦτο, αὐτὸς δὲ εἶπε περὶ ἑαυτοῦ, ὅτι Υἱός ἐστι Θεοῦ καὶ Θεός, δεῖ πιστεύειν ταῦτα περὶ αὐτοῦ, καὶ δοξάζειν αὐτὸν Υἱὸν Θεοῦ καὶ Θεὸν εἶναι βεβαίως. Ὅτι δὲ Υἱὸν Θεοῦ πολλάκις ἑαυτὸν εἶπέ τε καὶ ἔδειξεν ὄντα, τὸ ἱερὸν εὐαγγέλιον φανεροῖ, ὃ καὶ ὑμεῖς δι' αἰδοῦς ἔχετε καὶ τιμῆς, καὶ τοὺς μὴ πειθομένους αὐτῷ μακρὰν εἶναι τῆς σωτηρίας λέγετε. Οὐ φημι δὲ τὸ εὐαγγέλιον, ὅ τινες προβάλλονται ἐν ὑμῖν ἰδιῶται προσθήκαις καὶ ἀφαιρέσεσι μεταπεπλασμένον, ἀλλὰ τὸ γνήσιον καὶ ἴσον πάντη τῷ παρ' ἡμῖν καὶ πᾶσι τοῖς ἁπανταχοῦ χριστιανοῖς· ὃ χρόνοις πρόσθεν ὀλίγοις ἐν τῇ νέᾳ Βαβυλῶνι γνησίως ἑρμηνευθέν, ἐκεῖθεν καὶ ἄλλοθι παρ' ὀλίγοις ἔστι διαδοθέν· οἶμαι δὲ καὶ τὴν σὴν ἐνδοξότητα ἰδεῖν αὐτὸ καλῶς.

4. Ἐπίσχες, εἶπε, μικρόν, ἵνα σου πύθωμαί τι, καὶ μετὰ ταῦτα τελειώσεις τὸν σὸν λόγον. Ἐν τῷ ἀληθεῖ καὶ ἀπλάστῳ ὡς λέγεις εὐαγγελίῳ, ποῦ γέγραπται λέγων ἑαυτὸν ὁ Χριστὸς Υἱὸν Θεοῦ; Ποῦ καὶ Θεόν;

Πρῶτον μέν, εἶπον, εἰ καὶ μὴ ἔλεγε τουτὶ φανερῶς ὁ Χριστός, ἀρκοῦν

---

5 *προδήλως* om A

ἦν, ὅτι τοῖς ἔργοις τοῦτο ἐδείκνυ· ὅθεν καὶ οἱ τότε πεπιστευκότες αὐτῷ ἀρκοῦσαν τῆς αὐτοῦ θεότητος ἀπόδειξιν ἐποιοῦντο τὴν ἐκ τῶν ἔργων, ὡς καὶ αὐτός φησιν, ὅτι „εἰ μὴ δι᾽ οὐδὲν ἄλλο, διὰ γοῦν τὰ ἔργα πιστεύετέ
f. 262 μοι“. | Ἔπειτα τοῖς ὁμολογοῦσιν αὐτὸν Υἱὸν εἶναι Θεοῦ τῇ φρονίμῳ κρίσει περὶ τῶν ἔργων αὐτοῦ οὔτ᾽ ἐπετίμα καὶ ἐπῄνει καὶ χάριν ἐδίδου, καίτοι γε εἰωθὼς ἐπιτιμᾶν, ἐπειδάν τι τῶν αὐτῷ μὴ δοκούντων ἔλεγον, ὥσπερ ἐπετίμησε τῷ Πέτρῳ συμβουλεύοντι μένειν ἐν τῷ ὄρει τῷ Θαβὼρ καὶ μὴ κατιέναι. Τῷ Ναθαναὴλ τοίνυν εἰπόντι· „Σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ“, οὔτ᾽ ἐπετίμησε καὶ μᾶλλον ἐπῄνεσε· τῷ Πέτρῳ εἰπόντι· „Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος“, οὐκ ἐπετίμησεν, ἐμακάρισε δὲ μᾶλλον, καὶ μισθὸν αὐτῷ τὰς τῆς βασιλείας κλεῖς ἔδωκε τῆς οὐρανίου· τῷ Θωμᾷ μετὰ τὴν ἐνατένισιν εἰπόντι· „Ὁ Κύριός μου καὶ ὁ Θεός μου“, τὴν ὁμολογίαν ἐπεκύρωσε καὶ μακαριωτέρους εἶπεν εἶναι τοὺς μὴ ἰδόντας καὶ πιστεύσαντας, ὅτι Θεός ἐστιν, ὡς αὐτοῦ μετὰ τὴν ὄψιν πεπιστευκότος τοῦ Θωμᾶ. Ἀλλὰ μὴν καὶ αὐτὸς ὁ Κύριος ἡμῶν ἐναργῶς τοῦτο περὶ ἑαυτοῦ πολλάκις εἴρηκεν· ἀρκεῖ δὲ ἡμῖν ὀλίγα νῦν ἐκ πολλῶν παραθεῖναι. Ἐπεὶ γὰρ ἠρώτησε τὸν ἀναβλέψαντα τυφλόν· „Σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ“, ὁ δὲ ἀπεκρίνατο· „Καὶ τίς ἐστι, κύριε, ἵνα πιστεύσω εἰς αὐτόν“; εἶπεν ὁ Κύριος· „Καὶ ἑώρακας αὐτὸν καὶ ὁ λαλῶν μετὰ σοῦ ἐστιν“. Ἔτι εἶπεν, ὅτι· „Ἔρχεται ὥρα, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ“, ἑαυτὸν εἶναι λέγων τὸν φωνήσοντα καὶ ἀναστήσοντα. Καὶ ἐπήγαγεν ἔτι σαφεστέρως εἰς ἀπόδειξιν τοῦ ῥηθέντος· „Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ“. Τὸ δέ· „Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καί· „Οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, καὶ οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱός“, καὶ τὰ ἑξῆς, δείκνυσιν ἅμα καὶ τὴν ὑπερβολὴν τῆς ἐξουσίας τε καὶ δυνάμεως καὶ τὴν ἰσότητα τὴν πρὸς τὸν Θεὸν καὶ Πατέρα, καὶ τὴν τελειότητα τῆς γνώσεως, καὶ ἅπαν θεοπρεπές. Τὸ δέ· „Σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ“; καὶ τό· „Πιστεύετε εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε“ καὶ τό· „Ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον“, τί ἄλλο ἢ Θεὸν αὐτὸν δείκνυσιν ὄντα, καὶ περὶ ἑαυτοῦ ὡς Θεοῦ ταῦτα λέγοντα· τὸ γὰρ πιστεύειν εἰς τὸν Θεὸν πολὺ ὑψηλότερον τοῦ πιστεύειν τῷ Θεῷ καὶ μόνῳ τῷ Θεῷ ἀποδιδόμενον· εἰς τὸν Θεὸν γὰρ μόνον πιστεύομεν· πιστεύομεν δὲ καὶ τοῖς ἁγίοις καὶ ἱεροῖς ἀνδράσι καὶ διδασκάλοις ὡς ἀληθῆ λέγουσιν. Ὅτι δὲ οὐ παρρησιαζόμενος ἔλεγεν οὐδὲ αὐχῶν, ἀλλ᾽ ἔνθα μόνον ᾔδει τοὺς ἀκούοντας ὠφελήσων καὶ μετὰ πολλῆς τῆς συνέσεως, ἦν μὲν καὶ τοῦτο θεῖον ἀληθῶς φρόνημα καὶ

---

3 Ioh. 10, 38 8 Ioh. 1, 49 9 Matth. 16, 16 12 Ioh. 20, 28 17 Ioh. 9, 35-37 20 Ioh. 5, 28 22 Ioh. 5, 26 23 Matth. 11, 27 27 *τὴν* devant *πρὸς* om B 28 Ioh. 9, 35 29 Ioh. 14, 1 Ioh. 6, 47 34 *ἀνδράσι καὶ* om A

τῇ ἄλλῃ αὐτοῦ ταπεινώσει οἰκεῖον, | ἣν ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας f. 262v προείλετο· ἄλλως τε καὶ ὁ καιρὸς οὔπω τοῦ πάθους ἦν, καὶ διὰ τοῦτο μετά τινος ἔλεγε ταῦτα φειδοῦς καὶ τοῖς μαθηταῖς παρήγγελλε κρύπτειν, οὔπω θέλων διεγείρειν τὴν τῶν ἀπιστούντων Ἰουδαίων ἀπανθρωπίαν· ᾔδει γὰρ διεγερθησομένην ἐγκαίρως ἄλλαις ἀποδείξεσι τῆς αὐτοῦ θεότητος ἐναργεστέραις. Καὶ υἱὸν δὲ ἀνθρώπου λέγων ἑαυτὸν πολλάκις, οὐ μόνον ταπεινούμενος ἔλεγεν, ἀλλὰ καὶ τὴν οἰκείαν θεότητα οὐδὲν ἧττον βεβαιῶν οὕτως· εἰ γὰρ υἱὸς ἀνθρώπου μόνον ἦν, τί ἂν ἔδει τοῦτο λέγειν, πρόδηλον ὄν; ἀλλ' ἐπειδὴ υἱὸν ἑαυτὸν ἐκάλει Θεοῦ καὶ πατέρα ἔλεγεν αὐτοῦ τὸν Θεὸν καὶ ἓν εἶναι τῇ οὐσίᾳ μετὰ τοῦ Πατρὸς ἔλεγεν, εὐλόγως ὠνόμαζεν ἑαυτὸν καὶ ἐκ τῆς ἀνθρωπότητος ἣν προσέλαβεν, ἅμα ὀνειδίζων οὕτω καὶ τοῖς ἐκ τοῦ φαινομένου μόνου καλοῦσιν αὐτὸν καὶ υἱὸν ἀνθρώπου μόνον εἶναι νομίζουσιν. Τὸ δὲ μεῖζον, ὅτι καὶ μετὰ τοῦ ἄρθρου ἔλεγεν ὁ υἱὸς τοῦ ἀνθρώπου· εἰ γὰρ ἄνθρωπος ἦν μόνον ὡς πάντες ἄνθρωποι, τί ἂν ἔδει λέγειν ἐνάρθρως; Τοῖς γὰρ μοναδικοῖς τοῦτο μόνον ἁρμόττει, ὡς ὅταν ὁ ἥλιος λέγωμεν ἢ ὁ οὐρανός, ἑνὸς ὄντος οὐρανοῦ καὶ ἡλίου. Ἀλλὰ διότι καὶ Υἱὸς ἦν Θεοῦ, διὰ τοῦτο ἐνάρθρως ἔλεγεν ὁ υἱός· εἷς γὰρ μόνος αὐτὸς γέγονε καὶ ἔστιν ὁμολογουμένως ὁ τοιοῦτος υἱὸς τοῦ ἀνθρώπου, ὃς Θεοῦ ἦν υἱὸς ἀϊδίως, καὶ ἀνθρώπου υἱὸς γέγονεν ὕστερον δι' οἰκονομίαν, τῇ θεότητι συνάψας τὴν ἀνθρωπότητα. Διὰ ταῦτα καὶ Ἰουδαῖοι ψευδομαρτυρίαν μὲν κατὰ τοῦ Κυρίου ἡμῶν ζητοῦντες οὐχ εὗρον, τὴν δὲ ἀλήθειαν περὶ ἑαυτοῦ λέγοντος, ὅτι υἱός ἐστι τοῦ Θεοῦ, βλασφημεῖν αὐτὸν ἔλεγον, καὶ διὰ τοῦτο θανάτου ἄξιον εἶναι, ὅτι ἑαυτὸν ἐποίει υἱὸν Θεοῦ, τουτέστιν ἔπλαττεν οὐκ ὄντα, καὶ ὅτι πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. Οὕτως ἐναργῶς ἔλεγεν ὅτι υἱός ἐστι τοῦ Θεοῦ, ὡς μηδὲ τοὺς ἐναντίους λανθάνειν, καὶ τοῦτο ποιεῖσθαι κατ' αὐτοῦ ἔγκλημα· οὐ γὰρ ἐβούλοντο προσίεσθαι τὴν ἀλήθειαν.

Καὶ μήν, εἶπε, τοῖς ἀποστόλοις ἑαυτὸν ὁ Χριστὸς ἐξισάζει τῇ πρὸς Θεὸν τάξει· „Ἀναβαίνω γάρ, εἶπε, πρὸς τὸν Πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν“. Εἰ τοίνυν Θεὸν ἑαυτοῦ λέγει τὸν τῶν ἁπάντων Θεόν, πῶς Θεός ἐστιν αὐτὸς καὶ Υἱὸς Θεοῦ; Ὁ γὰρ Θεὸς οὐ δύναται ἔχειν Θεὸν ὑπὲρ ἑαυτόν. Εἰ δὲ πατέρα ἑαυτοῦ τὸν Θεὸν πολλάκις ἐκάλει, πατέρα καὶ τῶν μαθητῶν ἐνταῦθα καλεῖ, ὥσπερ καὶ Θεὸν ἑαυτοῦ καὶ τῶν μαθητῶν εἶπε τὸν Θεὸν εἶναι.

Κύριε, εἶπον, φρονιμώτατε, ἐντεῦθεν μάλιστα ἡ ὑπεροχὴ τοῦ Χριστοῦ πρὸς τοὺς μαθητὰς καὶ πάντας ἀνθρώπους διαφαίνεται καὶ ἡ ἀληθὴς αὐτοῦ θεότης. Ὅτι μὲν γὰρ τῶν ἀποστόλων | πατὴρ ἦν ὁ Θεός, ἀληθές f. 263 ἐστιν, ἀλλὰ χάριτι μόνον· τοῦ δὲ Χριστοῦ, κατὰ τὴν ἐν αὐτῷ θεότητα,

6 *Καὶ* om A   23 *υἱὸν ἐποίει* B   29 Ioh. 20, 17

φύσει πατὴρ ἦν· καὶ Θεὸς μὲν ἦν ἐκείνων καθ' ὅλην αὐτῶν τὴν οὐσίαν, αὐτοῦ δὲ τοῦ Χριστοῦ Θεὸς κατὰ τὴν ἀνθρωπότητα μόνην· καὶ τοῦτο, μετὰ πολλῆς τῆς πρὸς τοὺς ἀποστόλους ὑπεροχῆς· ἐκείνων μὲν γὰρ ἡ ἀνθρωπότης ψιλὴ ἦν, ἡ δὲ τοῦ Χριστοῦ, προσωπικῶς τῇ θεότητι συνημμένη. Ταῦτα τοίνυν δηλῶν ὁ Κύριος ἡμῶν, διεῖλεν οὕτω καὶ ἀμφοτέρας τὰς ἀναφορὰς οἰκείως τῇ τοῦ πράγματος ἀληθείᾳ. Εἰ δὲ ὡσαύτως ἦν ἐκείνου τε καὶ τῶν μαθητῶν Θεὸς καὶ Πατήρ, τί ἔδει διαιρεῖν οὕτως; Περιττολογία γὰρ ἂν ἦν τοῦτο σαφής, ὅπερ ἀπείη γε φρονεῖν περὶ τοῦ Χριστοῦ. Εἰ δὲ ἠκρίβου τὸν λόγον, ὡς διῃρημένης ἔργῳ καὶ ἀληθείᾳ τῆς πρὸς τὸν Θεὸν καὶ Πατέρα ἀναφορᾶς αὐτῷ τε καὶ τοῖς μαθηταῖς, ταὐτὸν δὲ εἰπεῖν μετὰ τῶν μαθητῶν καὶ πᾶσιν ἀνθρώποις, καλῶς τε καὶ οἰκείως διῄρει καὶ τῷ λόγῳ λοιπόν. Ταῦτα μὲν εἰς ἀπόκρισιν ἀρκείτω τῆς σῆς ἐρωτήσεως· ἂν δὲ κελεύῃς, προχωρήσω λοιπόν, συμπεράναι τὸν περὶ τῆς πίστεως λόγον.

5. Ἔφη· προχώρει.

Ἡ τοίνυν περὶ τῆς τοῦ Χριστοῦ θεότητος ἐν ἡμῖν, εἶπον, δόξα ἐκ τῆς ἐπ' αὐτῷ πίστεως ἔλαβε τὴν ἀρχήν. Ὅθεν εἰ καὶ μηδὲν ἄλλο τὴν αὐτοῦ συνέπειθεν ἡμᾶς θεότητα, τὸ δοξάζειν αὐτὸν ἀληθῆ τυγχάνειν ὡς καὶ βίῳ καὶ λόγῳ τέλειον, ἠνάγκαζεν ἂν ἡμᾶς πιστεύειν αὐτῷ λέγοντι ἑαυτὸν υἱὸν εἶναι Θεοῦ, καὶ διὰ τοῦτο πιστεύειν εἰς αὐτὸν ὡς Θεὸν ὄντα· νῦν δὲ τοῖς ἀνθρωποπρεπέσι μὲν ἐν αὐτῷ ἀγαθοῖς, μείζοσι δὲ ἢ κατὰ ἄνθρωπον, καὶ τὰ ὄντως θεοπρεπῆ συνῆπται. Ὅθεν καὶ μὴ εἰπόντος ἂν αὐτοῦ πολλάκις καὶ πολλαχῶς ὅτι υἱός ἐστι τοῦ Θεοῦ, ἐκ γοῦν τῶν κατ' αὐτὸν καὶ περὶ αὐτοῦ πάντων ἀνάγκην ἂν γενέσθαι πᾶσι τοῖς καλῶς προσέχειν ἐθέλουσι καὶ δυναμένοις υἱὸν Θεοῦ καὶ Θεὸν εἶναι πιστεύεσθαι· λέγω δὲ τὴν δι' ἀγγέλου προαγγελίαν τῆς αὐτοῦ συλλήψεως, τὴν ἐκ Παρθένου σύλληψιν ἄνευ σπορᾶς παραδοξοτάτην τε καὶ ὑπερφυᾶ, τὰ ἐν τῇ γεννήσει αὐτοῦ παράδοξα, τὰ μετὰ τὴν γέννησιν, τὸν ὑπὲρ ἄνθρωπον βίον αὐτοῦ, τὰ πάντα λόγον νικῶντα καὶ ἀριθμὸν θαύματα, τὰς προαγορεύσεις τῶν γενησομένων αὐτῷ παρὰ τῶν τῆς ἀληθείας ἐχθρῶν καὶ τῆς αὐτῶν σωτηρίας, τὰς προαγορεύσεις τῆς μετὰ ταῦτα δόξης ἐν τῷ ἀνθρωπίνῳ αὐτοῦ καὶ τὰς τούτων ἐκβάσεις ὡς προηγορεύθησαν, τὰ ἐν τῷ πάθει σημεῖα τῆς κτίσεως, δῆλα τῷ
f. 263v κόσμῳ παντὶ γενόμενα, ὥστε τοὺς ἐν Ἕλλησιν ἀστρονόμους, | ἰδόντας τὴν ἐν πανσελήνῳ τοῦ ἡλίου ἔκλειψιν παρὰ φύσιν γεγενημένην, σκεψαμένους εἰπεῖν, ὅτι νῦν Θεὸς ἢ υἱὸς Θεοῦ πάσχει, καὶ πρώτους αὐτοὺς προσθέσθαι καὶ διὰ τοῦτο τῷ τῶν ἀποστόλων κηρύγματι· ὁπόσα περὶ τῶν ἀποστόλων προεῖπεν, ἃ καὶ εἰς ἔργον ἐξέβη, τὴν ἰσχὺν αὐτοῦ παρέχοντος οὐρανόθεν· τὰς πανταχοῦ τῆς γῆς περιόδους αὐτῶν, πάντων κωλυμάτων ἰσχυροτέρας καὶ κινδύνων φανερῶν τε καὶ ἀφανῶν· τὴν τοῦ εὐαγγελίου διασπορὰν πανταχοῦ, καὶ παράδοξον εὐθὺς βλάστην· τὰ μὴ μόνον δι' αὐτῶν τῶν ἀποστόλων,

ἀλλὰ καὶ τῶν διαδόχων αὐτῶν πανταχοῦ θαύματα, τῇ ἐπικλήσει τοῦ ὀνόματος αὐτοῦ γινόμενα μόνῃ· τὰς τοῖς μαρτυροῦσιν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ καὶ τῆς εἰς αὐτὸν πίστεως ἐνστάσεις μὲν ἀφ' ἑαυτῶν ὑπερφυεῖς ἐπειδεικνυμένας, ἀντιλήψεις δὲ ἔξωθεν ὑπ' αὐτοῦ, καὶ τὰ δι' αὐτῶν τελούμενα θαύματα· τὴν παραδοξοτάτην τῆς οἰκουμένης ἁπάσης μετάθεσιν ἀπὸ τῆς πολυθέου πλάνης καὶ τῆς ἀποστασίας Θεοῦ, ᾗ τὸν πρόσθεν χρόνον ἐδούλευον, πρὸς τὴν τοῦ ἑνὸς Θεοῦ πίστιν. Καὶ τί δεῖ τὰ ἀναρίθμητα καταλέγειν; Τῶν δὲ ἀπηριθμημένων τούτων καὶ τῶν σεσιωπημένων σημείων ἀναντιρρήτων τῆς αὐτοῦ θεότητος καὶ τῆς ἀληθοῦς ἐν ἡμῖν περὶ αὐτοῦ δόξης τὰ μὲν ἐν εὐαγγελίῳ τὰ πρότερα περιέχεται, οἷς Ἰουδαῖοι μόνοι διαπιστοῖεν ἄν, πρὸς οὓς ἰδίοις χρῆσθαι λόγοις ἀναντιρρήτοις δυνάμεθα· τὰ δὲ ἐξ αὐτῶν τῶν πραγμάτων δῆλα πᾶσίν ἐστι τοῖς ἐξετάζειν τε καὶ προσέχειν ἐθέλουσι καὶ δυναμένοις καλῶς· ὧν τὸ μεῖζον, ὅτι κατὰ τὴν αὐτοῦ πρόρρησιν οἱ πορρωτέρω καὶ τόπῳ καὶ δόγμασιν ἀντὶ τῶν ἔγγιστα αὐτοῦ, καὶ ἀντὶ εὐαριθμήτων οἱ τὴν γῆν οἰκοῦντες ἅπασαν, ἀντὶ τῶν Ἰουδαίων δηλονότι οἱ πανταχοῦ γῆς πολύθεοι καὶ εἰδωλολάτραι, τὸ τῆς ἀληθείας ἐδέξαντο κήρυγμα· καὶ ὅτι τῶν πανταχοῦ γῆς πολυθέων οἱ σοφώτεροι πρῶτοι προσέθεντο τῷ κηρύγματι, τὴν ἐν αὐτῷ κατανενοηκότες ἀλήθειαν, τῶν ἀμαθεστέρων μέχρι τινὸς ἰσχυρογνωμονούντων, εἶτα καὶ αὐτῶν πειθομένων· καὶ ὅτι τὰ τοῖς ἀνθρώποις ἐν τῇ προσκαίρῳ ταύτῃ ζωῇ σπουδαζόμενα καὶ ὑπὲρ ὧν εἰώθασι τὰς οἰκείας προκινδυνεύειν ζωάς, πάντα ὑφ' ἓν ἠρνοῦντο, ἵνα μόνον προσκολληθῶσι Χριστῷ καὶ τῇ εἰς αὐτὸν πίστει, καὶ ποινὰς ἐν τοῖς σώμασι ποικίλας τε καὶ πολυημέρους καὶ θάνατον τελευταῖον ὑφίσταντο χαίροντες, τοὺς προδήλους ἐξ οὐρανῶν στεφάνους ἐπὶ τῇ φανερᾷ μαρτυρίᾳ | φρονίμως ἀνταλλαττόμενοι τῶν προσκαίρων f. 264
ἡδονῶν τε καὶ θλίψεων· καὶ Χριστὸς αὐτοῖς οὐρανόθεν ἐνέπνει καὶ μὴ φαινόμενος τὴν τοιαύτην ὑπὲρ αὐτοῦ τόλμαν καὶ καρτερίαν· οἳ δὲ ἠνδρίζοντο, καὶ φανερῶς αὐτοῖς ἐπιλάμποντος. Ἐπὶ τούτοις, ὅτι τὸ βούλευμα τῶν τότε τῆς γῆς ἁπάσης μοναρχούντων ἀπὸ Ῥώμης τοῖς πανταχοῦ πεμπομένοις ἐπάρχοις διαδιδόμενόν τε καὶ κηρυττόμενον περὶ τοῦ κτείνεσθαι μετὰ πολλὰς βασάνους, τοὺς πρώτους τῇ τοῦ Χριστοῦ πίστει προσερχομένους ἁπανταχοῦ, ἂν ἀμετάπειστοι μένωσιν, ἵνα τῷ δέει συστελλόμενον τὸ λοιπὸν πλῆθος τῆς πατρίου περιέχωνται θρησκείας καὶ ἄκοντες, καὶ οὕτω κατὰ μικρὸν ἡ βλάστη τοῦ κατὰ Χριστὸν κηρύγματος ἐνδιδοίη, τοῦτο τοίνυν τὸ βούλευμα εἰς τοὐναντίον αὐτοῖς περιετρέπετο μᾶλλον· ἑνὸς γὰρ ἀθλοῦντος ὑπὲρ Χριστοῦ καὶ τελευταῖον κτεινομένου μετὰ πολλὰς τεραστίων ἐπιδείξεις, ἑκατὸν εὐθὺς προσετίθεντο, καὶ δεκάκις καὶ πολλάκις τοσοῦτοι. Ὃ δὲ μεῖζον εἰς θαύματος λόγον, οἱ μὲν τότε βασιλεῖς καὶ οἱ παρ' αὐτῶν πεμπόμενοι ἔπαρχοι, λῃστῶν ἢ μαγείρων ὠμότητα καὶ ἀπανθρωπίαν ἐπι-

δεικνύμενοι ταῖς τῶν ἀνθρώπων σαρξίν, οὐκ ἴσχυσαν τὴν βλάστην τοῦ χριστιανικοῦ κωλῦσαι κηρύγματος· τοῦ δὲ Κωνσταντίνου βασιλέως ἐν Ῥώμῃ τῇ χριστιανικῇ προσθεμένου πίστει, καὶ τῆς εἰς Χριστὸν πίστεως ἐντεῦθεν παρρησίαν λαβούσης, οἱ πανταχοῦ πολυθεοῦντες ἔτι πρὸς τὴν χριστιανικὴν ἔτρεχον πίστιν, οὐδεμιᾶς ἀπειλῆς ἢ τιμωρίας ἐπαγομένης αὐτοῖς ἢ ἐπαγγελίας δώρων τε καὶ τιμῶν παρὰ τῶν χριστιανῶν βασιλέων ἢ ἐπάρχων τῶν πανταχοῦ, ὡς οἱ πρότεροι θῆρες ἐποίουν ἐκεῖνοι· ὡς εἶναι δῆλον ἐντεῦθεν, ὅτι εἰ μὴ ἡ τῶν θηρῶν ἐκείνων ὠμότης γράμμασί τε πανταχοῦ δηλουμένη καὶ ἔργοις τελειουμένη τὴν προθυμίαν εἶργε τινῶν τῶν ἀνθρωπίνῳ φρονήματι δειλοτέρων, κἂν πάντες εὐθὺς προσέθεντο πανταχοῦ τῇ τοῦ κηρύγματος ἀληθείᾳ, οὐδ' ἂν ἐδέησε πλείονος χρόνου πρὸς τὸ πᾶσαν τὴν οἰκουμένην τῆς πολυχρονίου δεισιδαιμονίας ἀπαλλαγῆναι· καὶ αὐτὸς δὲ ὁ πρῶτος ἐν βασιλεῦσι χριστιανὸς Κωνσταντῖνος, ἐκ τῶν ἐν τοῖς μαρτυρίοις γεγενημένων τεραστίων ἐπὶ τῷ τοῦ Χριστοῦ ὀνόματι πολὺ προθυμότερος πρὸς τὴν εἰς Χριστὸν γέγονε πίστιν. Καὶ τὰ μὲν ἐν Ῥώμῃ γενόμενα ἐπὶ Νέρωνος καὶ τῶν ὁμοίων αὐτῷ ἔκδηλα τοῖς τὴν Ῥώμην οἰκοῦσιν ἅπασιν ἦσαν· τὰ δὲ πανταχοῦ τῆς οἰκουμένης γεγενημένα πλεῖστα καὶ μέγιστα ἦσαν ἐν ὑπομνήμασι σεσημειωμένα τῶν ἁπανταχοῦ πεμπομένων ἀπὸ Ῥώμης ἐπάρχων, ἐναπετίθουν τε ταῦτα ταῖς βασιλείοις
f. 264v βιβλιοθήκαις | εἰς Ῥώμην ἐπανιόντες ἐκεῖνοι, οὕτω τε κελευόμενοι ποιεῖν καὶ αὐτοὶ οἴκοθεν προαιρούμενοι, σημειοῦσθαι πάντα δηλονότι, ὅσα τε ἐλαλεῖτο καὶ ὅσα ἐπράττετο ἐν τοῖς μαρτυρίοις παρ' αὐτῶν τε τῶν ἐπάρχων καὶ τῶν ἀθλούντων χριστιανῶν, καὶ εἰς Ῥώμην ἐπανιόντες κομίζειν, ἵνα μὴ δόξωσι διαβάλλειν τινὰς ἐπὶ τῇ πρὸς Χριστὸν μεταθέσει καὶ κτείνειν ἀηδίας τινὸς εἵνεκα πρὸς αὐτοὺς ἢ αἰσχροκερδείας· ἐσημειοῦντο δὲ γράμμασι βασιλικῶν νοταρίων, οἳ τοῖς ἐπάρχοις συνεπέμποντο καὶ συνεπανήρχοντο πάλιν. Ἀλλὰ δόξα τῷ ἡμετέρῳ Δεσπότῃ Χριστῷ, ὅτι καὶ τῶν ἐπάρχων αὐτῶν οὐκ ὀλίγοι, τῇ τοῦ Χριστοῦ πίστει προσθέμενοι καὶ τὸν ὑπὲρ αὐτοῦ θάνατον ὑποστάντες σὺν ἡδονῇ οὐκ εἰς Ῥώμην λοιπὸν ἐπανῄεσαν, ἀλλ' εἰς τὸν οὐράνιον χῶρον γυναιξὶν ἅμα καὶ τέκνοις· ἐνίων δὲ ἐπάρχων αἱ γυναῖκες τοὺς ἄνδρας ἐλέγξασαι, τὸ μαρτυρικὸν παρ' αὐτῶν μετὰ πολλὰς βασάνους ἐδέξαντο τέλος μόναι. Οὐ μόνον δὲ τὰ ὑπομνήματα ἐκεῖνα ἀνέγνω Κωνσταντῖνος, ἀλλὰ καὶ τοὺς τῶν ἁπανταχοῦ χρηστηρίων καὶ τῶν σιβυλλῶν χρησμοὺς περὶ τῆς ἐνανθρωπίσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ μετὰ πολλῆς ἐνδοξότητος καὶ παραδοξολογίας διεξιόντας αὐτήν· ἐναπέκειντο δὲ καὶ ταῦτα ταῖς βιβλιοθήκαις ἐκείναις καὶ ἐφανέρου τῷ πατρὶ Κων-

---

25 *ἕνεκα* A 27-32 *Ἀλλὰ δόξα — ἐδέξαντο τέλος μόναι* en marge dans A

σταντίνῳ ὁ υἱὸς αὐτοῦ Κρίσπος, πρόσθεν ἀγνοούμενα· μετεβέβλητο γὰρ πρῶτος αὐτὸς ἀπὸ τῆς πολυθέου πλάνης νουθεσίαις τοῦ διδασκάλου, ὃς Φιρμιανὸς ἐκαλεῖτο Λακτάντιος, καὶ τὸν πατέρα ἐλάνθανε μέχρι πολλοῦ. Ἦν δὲ Φιρμιανὸς σοφώτατος ἀνὴρ καὶ τῆς ἑλληνικῆς πλάνης πρόσθεν ὑπέρδικος, εἷς ὧν τῶν φυλάκων τῆς βιβλιοθήκης ἐκείνης, πλειόνων ὄντων· ἀλλ' ἐκ τῶν βιβλίων ἐκείνων πρὸς τὴν ὄντως ἦλθε φιλοσοφίαν· ἐκρύπτετο μέντοι τῷ δέει μέχρι τῆς Κωνσταντίνου βελτιώσεως, τῷ Κρίσπῳ γνωριζόμενος μόνῳ.

6. Ἐνταῦθα δὴ τελευταῖον θήσομεν τὸ κεφάλαιον τῶν καὶ ἔξωθεν βεβαιούντων τὴν εἰς Χριστὸν πίστιν, μᾶλλον δὲ ἀπ' αὐτοῦ καὶ τοῦτό ἐστι τοῦ Κυρίου ἡμῶν· αὐτὸς γὰρ ὁ ἀΐδιος καὶ νοητὸς Λόγος καὶ Υἱὸς τοῦ Θεοῦ τοῦ ἀγεννήτου νοῦ καὶ Πατρός, ἣν ἔμελλεν ἐγκαίρως οἰκονομίαν ποιεῖν ἐπὶ τῇ τοῦ οἰκείου πλάσματος ἀναπλάσει (τὴν δὲ ἐγκαιρότητα ταύτην δείξομεν, ἐπειδὰν κελεύσῃς, εὐρύτερον καὶ ἐν πολλοῖς ἡμῶν ἱστορηθεῖσαν συγγράμμασιν), τὴν οἰκονομίαν τοίνυν ταύτην τῷ παραδόξῳ μέλλουσαν ἐκπλήττειν ἅπαντας, ὥστε μηδὲ πάντας αὐτῇ ῥᾳδίως θέλειν συνίστασθαι, καὶ προφητεύμασιν ἐφανέρωσε πρὶν ἔργῳ τελειωθῆναι, ἵνα τῶν φαινομένων τὴν μαρτυρίαν καὶ ἐκ τῶν προηγορευμένων ἔχοντες εὐκολώτερον πείθωνται. Καὶ τοῖς μὲν ἄχρι τότε πιστοῖς Ἰουδαίοις διὰ τῶν ἐνθέων καὶ ἱερῶν ἐδήλωσε προφητῶν· τοῖς δὲ πανταχοῦ πολυθέοις, καὶ μάλιστα Ἕλλησι καὶ Ῥωμαίοις, οἳ σοφίᾳ καὶ τῇ ἄλλῃ δυνάμει πάντων προεῖχον, διὰ τῶν | πανταχοῦ χρηστηρίων· οὐ γὰρ ἂν εἶχον αὐτοὶ ῥᾳδίως πιστεύειν ταῖς ἐκ f. 265 τῶν ἰουδαϊκῶν βίβλων προρρήσεσιν, οὔτε τὰς βίβλους ἔχοντες, οὔτε τῶν δοξῶν κοινωνοῦντες τοῖς Ἰουδαίοις· χρηστηρίοις δὲ τοῖς οἰκείοις προσεῖχον καὶ τοῖς ἐκεῖ θεραπευομένοις δαίμοσιν. Συνεχώρησεν οὖν ἡ πανάγαθος τοῦ Θεοῦ σοφία καὶ διὰ τῶν δαιμονίων τὴν τῆς θείας εὐεργεσίας πλατυνθῆναι βεβαίωσιν ἐν ταῖς ψυχαῖς τῶν μέχρι τότε προσεχόντων αὐτοῖς. Ὁπόταν οὖν κελεύῃς, καὶ τοὺς χρησμοὺς τῶν τε χρηστηρίων καὶ τῶν σιβυλλῶν δείξομέν σοι, καὶ ὡς εἰσὶν ἀπαράγραπτοί τε καὶ ἀδιάβλητοι, καὶ τὰς τῶν ἐνθέων προφητῶν προφητείας, αἳ καὶ παρὰ τῶν ἀνθισταμένων ἡμῖν Ἰουδαίων τὴν μαρτυρίαν ἔχουσιν· ἀρνεῖσθαι γὰρ ταύτας οὐ δύνανται, παρεξηγεῖσθαι μόνον καὶ διαστρέφειν τολμῶσι. Τῇ δὲ τοῦ Ἡσαΐου μόνῃ οὐκ ἔχουσιν ἀντιβλέπειν· ἐκείνη γὰρ τὸ κατὰ τὸν Κύριον ἡμῶν πρᾶγμα πάντων σαφέστερον ἱστορεῖ, ὅσα τε εἰς τὴν αὐτοῦ θεότητα ἀνήκει καὶ εἰς τὴν προσληφθεῖσαν αὐτῷ ἀνθρωπότητα, καὶ εἰς τὸν τῆς τοιαύτης οἰκονομίας σκοπόν, καὶ τὴν ἐξ αὐτῆς γενησομένην εὐεργεσίαν τῷ κόσμῳ.

---

4 *πρόσθεν* om A

Τὴν μὲν οὖν ἐκ τῶν ἄλλων πραγμάτων βεβαίωσιν πρὸς πληροφορίαν τῶν ἐρωτώντων ἡμᾶς εἰς μέσον φέρομεν· ἡμεῖς δὲ πιστεύομεν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὥσπερ καὶ εἰς τὸν πέμψαντα αὐτὸν ἐν τῷ κόσμῳ Θεὸν καὶ Πατέρα πιστεύομεν· θεμέλιον δὲ τῆς τοιαύτης πίστεως ποιούμεθα τὸ πιστεύειν αὐτῷ διὰ τὰ εἰρημένα· αὐτὸς δὲ εἶπεν ἑαυτὸν πολλάκις καὶ ἔργοις ἔδειξεν υἱὸν εἶναι Θεοῦ· ἀληθῆ δὲ εἶπεν, ἀληθὴς ὤν· καὶ οὐ μόνον ἀληθής ἐστιν, ἀλλὰ καὶ αὐτὴ ἀλήθεια, ὅπερ τῷ Θεῷ μόνῳ προσήκει. Φησὶ δὲ καὶ τοῦτο αὐτὸς περὶ ἑαυτοῦ λέγων· „Ἐγώ εἰμὶ ἡ ἀλήθεια“, ὃ ταὐτὸν τῷ εἰπεῖν, ὅτι Θεός ἐστι. Καὶ οὐ μόνον αὐτῷ πιστεύειν κελεύει λέγοντι ὅτι υἱός ἐστι Θεοῦ, ἀλλὰ καὶ εἰς αὐτὸν πιστεύειν· „Πιστεύετε γάρ, φησίν, εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε“. Καὶ τὴν αἰτίαν φανερῶς τίθησιν, ὅτι· „Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν“. Ὅτι δὲ εἷς ἐστι Θεὸς μετὰ τοῦ Πατρός, εἰ καὶ προσωπικῶς εἴτουν ἀτομικῶς διακρίνονται, καὶ ἁπλῶς φάναι περὶ τῆς ἐν τῷ ἑνὶ Θεῷ τριάδος τῶν ἰδιοτήτων καὶ ὑποστάσεων, ἀποδεδώκαμεν ποτὲ τοῖς ὑμετέροις σοφοῖς ἐνώπιον τοῦ μεγίστου κρατοῦντος ζητήσασιν, οὐδ' ἅπαξ, ἀλλὰ καὶ τρίς· καὶ αὖθις ὁπόταν
f. 265v κελεύσῃς, καὶ σοὶ τὸν περὶ τούτων ἀποδώσομεν λόγον.

7. Ἀρκεῖ νῦν ταῦτα, ἔφη, ἓν δέ σου πυνθάνομεν· | διατί μὴ τὴν τοῦ Μωσέως προφητείαν περὶ πλείονος ποιεῖσθε, μείζονος τῶν τότε προφητῶν ὄντος, καὶ τῆς περὶ Χριστοῦ προφητείας ἐναργεστάτης οὔσης αὐτοῦ· ἢ καὶ ἡμεῖς διὰ τοῦτο τιθέμεθα.

Ἀπεκρίθην ἐγώ· Μωσεῖ μὲν οὖν τιθέμεθα ἡμεῖς, καὶ διὰ τῆς ἐκείνου προφητείας τὴν τῶν Ἰουδαίων ἀγνωμοσύνην ἐλέγχομεν περὶ αὐτόν τε Μωσέα καὶ τὸν ὑπ' ἐκείνου προφητευθέντα.

Καὶ πῶς αὐτῷ τίθεσθε, εἶπε, καλῶς; Ὑμεῖς μὲν γὰρ Θεὸν λέγετε τὸν Χριστόν· ὁ δὲ Μωσῆς προφήτην αὐτὸν ἥξειν λέγει, οὐχ υἱὸν Θεοῦ οὐδὲ Θεόν· „Ἀναστήσει γάρ, φησί, Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ἡμῶν προφήτην ὡς ἐμέ, καὶ πᾶσα ψυχὴ ἥτις οὐκ ἀκούσεται τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται.

Εἶπον ἐγώ· Προῳκονομήθη μέν, ὡς προείρηται, ὑπὸ Θεοῦ πρὸς συνηγορίαν τῆς τῶν πραγμάτων ἐκβάσεως καὶ στηριγμὸν ἐν αὐτῇ τῶν ἀνθρωπίνων ψυχῶν ἥ τε διὰ τῶν ἐνθέων προφητῶν προαγόρευσις καὶ ἡ διὰ τῶν χρηστηρίων καὶ τῶν ἐν αὐτοῖς ἐνεργούντων δαιμονίων· πλὴν οὐχ ὁμοίως. Οἱ μὲν γὰρ δαίμονες οὐδὲ συνίεσαν ἃ λέγειν ἐφάνταζον τοὺς αὐτοῖς προσέχοντας μάντεις· οὐδὲ γὰρ ἦσαν ἐκεῖνα τῆς συνήθους ἐν αὐτοῖς διανοίας, ἥτις περὶ τὰ ψευδῆ καὶ φαῦλα μόνον ἐστὶ καὶ πρὸς τὴν τῶν

8 Ioh. 14, 6 11 Ioh. 14, 1 12 Ioh. 10, 30 27 Deut. 18, 15

ἀνθρώπων φέροντα λύμην, ἀλλ' ἔκ τινος ἰσχυροτέρας ἀνάγκης κινουμένων αὐτοῖς πρὸς ἐκεῖνα τῶν λογισμῶν· ἐκ τῆς αὐτῆς ἀνάγκης καὶ τοῖς ἄλλοις ταῦτα ἐφάνταζον. Διὸ καὶ μετὰ πολλῆς ἀνεπόλουν ταῦτα τῆς ἀπορίας, καταστροφὴν τῆς οὐκ εὐτυχοῦς αὐτῶν ἀρχῆς ταῦτα νομίζοντες, εἰ καὶ τὸν καιρὸν καὶ τὸν τρόπον οὐκ εἶχον συνορᾶν. Ὅθεν καὶ τῶν ἔργων ἐκβαινόντων ἤδη, ἐδεδίεσαν μὲν ἐξ ὑπονοίας, οὐκ ἐξ εἰλικρινοῦς διαγνώσεως, πᾶσι δὲ τρόποις ἐπειρῶντο τὸν ὄλεθρον αὐτῶν ὃν ἐδεδίεσαν ἐξετάζειν, εἰ νῦν ἐφέστηκεν ἤδη, ἢ μήπω πάρεστιν, ὡς ἐν εὐαγγελίοις ταῦτα δηλοῦται· τὸν γὰρ ἐκ τῆς συντριβῆς αὐτῶν φόβον, ἣν καθ' ἑκάστην τῇ δυνάμει τοῦ Χριστοῦ συνετρίβοντο, ἀνεκούφιζεν αὐτοῖς ἡ ἄλλη περὶ τὸ φαινόμενον αὐτοῦ ταπεινότης. Τοῖς δὲ ἐνθέοις προφήταις, τὴν τῶν ἀνθρώπων βελτίωσιν ποθοῦσιν ἀεὶ καὶ εὐχομένοις ἀπὸ Θεοῦ, ἐπεὶ τὸν πολὺν αὐτῶν ἀπὸ Θεοῦ μακρυσμὸν ὁρῶντες οὐκ ἔφερον, ἐξ ἀγάπης θείας ἐνεπνέετο ταῦτα μετὰ πολλῆς τῆς λαμπρότητος· ὅθεν καὶ πολλὴν ἐνεποίει τὴν ἡδονὴν αὐτοῖς, ὡς γενησόμενα τοῦ κόσμου παντὸς σωτηρία καὶ κοινόν τι φάρμακον τῆς ἐκ τῶν πρώτων ἡμῶν σπερμάτων διαδραμούσης εἰς τὴν ἀνθρωπείαν φύσιν χαλεπῆς ἀρρωστείας, | f. 266 καὶ ἐπεθύμουν ἰδεῖν ἂν ταῦτα ζῶντες γινόμενα, εἰ οἷόν τε ἦν, οὐ μόνον ὡς ἀπολαύσοντες καὶ αὐτοί, ἀλλὰ καὶ ὡς πείρᾳ σαφεῖ τὸν ἐγκεκρυμμένον αὐτοῖς ὀψόμενοι θησαυρόν· οὐ γὰρ εἶχον πάνυ σαφῶς ἐπαΐειν τῶν ἐμπνεομένων αὐτοῖς περὶ τῆς μελλούσης οἰκονομίας μυστηρίων, ἀλλὰ συνεπτυγμένως προεώρων τε καὶ προέλεγον. Καὶ τί δεῖ θαυμάζειν περὶ τῶν προφητῶν, ὅπου γε καὶ τοῖς ἀγγέλοις ἠγνοῆσθαι πλὴν ὀλίγων τὴν εἰλικρινῆ τοῦ μυστηρίου φανέρωσιν ἡ παρ' ἡμῖν ἱερὰ λέγει Γραφή, ἄχρι τῆς ἐν τῷ πράγματι φανερώσεως αὐτοῦ; Τότε γὰρ ἀνεπτυγμένην τὴν περὶ αὐτοῦ γνῶσιν εἰλήφασιν, ὡς καὶ νῦν οἱ πεπιστευκότες ἀνεπτυγμένην τὴν περὶ τῶν συνεπτυγμένως τότε προφητευθέντων ἔλαβον γνῶσιν καὶ ἔχουσιν. Καὶ τοῦτο διὰ τὴν τοῦ μυστηρίου γέγονεν ὑπερβολὴν καὶ ἐπ' ὠφελείᾳ τῶν πιστεύειν μελλόντων καὶ σῴζεσθαι διὰ πίστεως· εἰ γὰρ καὶ οἷόν τε ἦν ἐναργῶς ταῦτα προδηλοῦσθαί τε καὶ προλέγεσθαι, οὐκ ἂν ἦν τὸ τῆς πίστεως ἆθλον· οὐδεὶς γὰρ στεφανοῦται ἢ θαυμάζεται τοῖς ἐκδήλοις πάνυ πιστεύων. Ἀλλ' ὃν ὁ Μωσῆς εἶπε προφήτην ἥξειν μέχρι τοσούτου φωτισθεὶς ἐκ Θεοῦ, αὐτὸς ἐλθών, υἱὸν Θεοῦ ἑαυτὸν εἶπε καὶ τοῖς ἔργοις ἔδειξε, τὴν τοῦ Μωσέως ἀναπτύσσων τε καὶ τελειῶν προφητείαν. Καὶ εἰ πᾶσα ψυχὴ ἥτις οὐκ ἀκούσεται τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται, καὶ Ἰουδαίους, εἰ μὴ δι' οὐδὲν ἄλλο, τῷ γοῦν τοῦ ὀλέθρου φόβῳ, ὃν ἠπείλησε Μωσῆς, πείθεσθαι ἐχρῆν τῷ Χριστῷ Θεοῦ Υἱὸν ἑαυτὸν

---

25 *εἰλήφασιν* corrigé de *εἰλήφεσαν* dans A 36 *ἠπείλησε*: *προείρηκε* A

εἶναι λέγοντι· τὸν δὲ τοῖς παρακούουσιν ἐπακολουθοῦντα ὄλεθρον ἡ τῶν Ἰουδαίων ἔδειξεν ἀπώλεια μετὰ τὴν εἰς Χριστὸν παρανομίαν αὐτῶν, καὶ τῷ φαινομένῳ διὰ τὴν ἀπιστίαν ὀλέθρῳ καὶ ὁ τῶν ψυχῶν ἀφανὴς εὐλόγως ἐπηκολούθει λοιπὸν ὄλεθρος. Οὐδὲν τοίνυν προσίσταται τῇ ἡμετέρᾳ περὶ τῆς θεότητος τοῦ Ἰησοῦ δόξῃ τὸ προφήτην ὑπὸ Μωσέως προαγγέλλεσθαι καὶ τὸ ἀναστήσεσθαι ὑπὸ Θεοῦ θαυμασίως, ὡς καὶ τὸν Μωσῆν πολλοῖς παραδόξοις τρόποις ἀνέστησεν ὁ Θεός· ταῦτα γὰρ οὐδεμίαν μὲν ὕφεσιν, πᾶσαν δὲ σεμνότητα τῷ ἥξοντι μαρτυρεῖ τῆς ὑψηλοτέρας περὶ αὐτοῦ δόξης ἐγκεκρυμμένης τῇ τοῦ μυστηρίου βαθύτητι, καὶ διὰ τοῦτο σιωπωμένης ὑπὸ Μωσέως ἄκοντος ἢ καὶ ἑκόντος, εἰ καὶ σαφῶς εἰδέναι αὐτῷ δεδομένον ἦν. Ἀπεκάλυπτε δὲ τελεώτερον, εἰ καὶ μὴ λίαν τελείως διὰ τὰ εἰρημένα, τὴν τοῦ ἥξοντος ἐνδοξότητα τὸ εἰπεῖν περὶ αὐτοῦ τὸν Θεόν, ὅτι· „Δώσω τὸ ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ, | (f. 266v) καὶ λαλήσει αὐτοῖς, καθότι ἂν ἐντείλωμαι αὐτῷ· διὸ καὶ πᾶσα ψυχὴ ἥτις οὐκ ἀκούσεται αὐτοῦ, ἐξολοθρευθήσεται“. Τῷ Μωσεῖ τοίνυν τιθέμενοι καὶ ἡμεῖς, σοφωτάτην καὶ θείαν τὴν ὑπὸ Χριστοῦ δεδομένην νομοθεσίαν εἶναι δοξάζομεν καὶ πιστεύομεν αὐτῷ ἐν οἷς περὶ ἑαυτοῦ καὶ τοῦ Θεοῦ καὶ Πατρὸς λελάληκε· πιστεύομεν εἰς αὐτὸν ὡς Υἱὸν Θεοῦ καὶ Θεόν· αὐτὸς γὰρ εἶπεν ἑαυτὸν Υἱὸν Θεοῦ εἶναι, καὶ αὐτὸς εἶπε· „Πιστεύετε εἰς τὸν Θεὸν καὶ εἰς ἐμὲ πιστεύετε, ὅτι ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν“. Καὶ θεμέλιον μὲν τοῦ πιστεύειν εἰς τὸν Χριστὸν τὸ πιστεύειν αὐτῷ ποιούμεθα· πιστεύομεν δὲ τῷ Χριστῷ διὰ τὸ πιστεύειν πρότερον τῷ Μωσεῖ ἐν οἷς προεῖπε περὶ τοῦ Χριστοῦ. Διὸ καὶ αὐτὸς ὁ Κύριος ἡμῶν πρὸς Ἰουδαίους ἔλεγεν· „Εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί“. Ὅτι δὲ τοῖς μετὰ Μωσέα προφήταις καὶ ἔτι μᾶλλον τοῖς ἐγγυτέρω τοῦ Χριστοῦ γεγονόσιν μετὰ πλείονος ἢ Μωσεῖ τῆς σαφηνείας ἀπεκαλύφθη τὰ περὶ τοῦ Χριστοῦ, εἰ καὶ μηδ' ἐκείνοις καθάπαξ ἀνεπτυγμένως δι' ἃς αἰτίας εἰρήκαμεν, δῆλόν ἐστι τοῖς τὰς αὐτῶν ἀναγινώσκουσι βίβλους. Ταῦτα μὲν νῦν πρὸς τὰ περὶ τοῦ Μωσέως ἠπορημένα φαμέν· ἐν δὲ τῷ κατὰ Ἰουδαίων ἡμετέρῳ συγγράμματι καὶ ἄλλους πρὸς λύσιν τῆς τοιαύτης ἀπορίας τίθεμεν λόγους, οὕς, ἐπειδὰν κελεύῃς, συγγεγραμμένους ἢ καὶ στόματι δείξομεν.

Τότε εἶπεν· Οὐκοῦν πιστεύετε διὰ ταῦτα τὸν Χριστὸν ἀληθῆ Θεὸν εἶναι;

Ναί, εἶπον, οὕτω πιστεύομεν.

8. Καὶ τίνα λόγον ἔχον ἐστὶν, εἶπε, πιστεύειν τοῖς ἀδυνάτοις; Ἀδύνατον δέ ἐστιν ἑνωθῆναι τὴν ἀνθρωπότητα μετὰ τῆς θεότητος.

---

12 Deut. 18, 18   19 Ioh. 14, 1; 10, 30   23 Ioh. 5, 46   35 *τίνα, εἶπε, λόγον* A

Ἔφην ἐγώ· Τὸ μὲν τὴν ἀνθρωπότητα μετὰ τῆς θεότητος ἑνωθῆναι, τουτέστι τὸν ἄνθρωπον ἐν ἑαυτῷ τὴν τῆς θεότητος προσλαβεῖν φύσιν, ἀδύνατόν ἐστι καθάπαξ, ὡς αὐτὸς φῄς· τῆς θείας μόνης χάριτός ἐστι δεκτικὸς ὁ ἄνθρωπος, ἄξιον ἑαυτὸν πεποιηκὼς ἁπάσῃ σπουδῇ· τὸ δὲ τὸν Θεὸν ἀνθρωπότητα προσλαβεῖν οὐ δεηθέντα τῆς τοιαύτης προσλήψεως ἑαυτοῦ χάριν, ἀλλ' οἰκονομίᾳ τῆς ὑπερφυοῦς ἀγαθότητος ἐν αὐτῷ ἐπ' εὐεργεσίᾳ καὶ σωτηρίᾳ τοῦ πλάσματος αὐτοῦ παντός, τοῦτο οὐκ ἂν εἴη ἀδύνατον οὐδ' ἔστιν ἐναντίον τῷ λόγῳ καθάπερ τὸ πρότερον. Ἡ μὲν γὰρ ἀνθρωπίνη φύσις πῶς ἂν δύναιτο τὴν θεότητα προσλαβεῖν, ἡ κτιστὴ καὶ πεπερασμένη φύσει τε καὶ δυνάμει, τὴν ἄκτιστόν τε καὶ ἄπειρον; Ἡ δὲ θεότης, ἄπειρος οὖσα καὶ οὐσίᾳ καὶ παρουσίᾳ καὶ δυνάμει, συνάψειεν ἂν ἑαυτῇ ποτε βουληθεῖσα τὴν ἀνθρωπότητα καὶ ὑποστήσειεν ἂν ἑαυτῇ ἄνθρωπον, ἡ καὶ πάντα ἄνθρωπον ἁπλῶς ὑφιστῶσα, ἵνα ὡς ὀργάνῳ συνημμένῳ θεοπρεπῶς διαπράξηται μέγα τι ἀγαθὸν | καὶ τῇ τῶν ἀνθρώπων φύσει πάσῃ σωτήριον, f. 267
ὥσπερ δι' οὐδεμίαν ἀνάγκην οἰκείαν, ἐκ δὲ μόνης τῆς ἀγαθότητος τὸν κόσμον ἅπαντα πεποίηκεν ἐξ οὐκ ὄντος καὶ τὴν ἀνθρωπίνην ἐπὶ πᾶσιν ἔπλασε φύσιν. Εἰ οὖν ἐκεῖθεν τὰς τῶν ἀνθρώπων πάντων ψυχὰς ἐξ οὐκ ὄντος δημιουργεῖ ἐν τοῖς σώμασι τοῖς ἐκ διαδοχῆς γεννωμένοις, τί ἀδύνατον, εἰ καὶ ἑαυτῷ βουληθέντι μέγα τι διαπράξεσθαι ἄνθρωπον ἐκ ψυχῆς καὶ σώματος ὑπέστησεν ἑαυτῷ καὶ συνῆψεν οὕτως, ὡς ἂν συναφθῆναι δύναιτο καὶ οἰκεῖον ἂν εἴη;

9. Τότε τις ἄλλος ἐκεῖ παρών, διακόψας τὸν ἐμὸν λόγον· Καὶ πῶς, ἔφη, λέγεις τὸν Θεὸν ἄπειρον εἶναι; Τὸ γὰρ ἄπειρον ἐν ποσῷ ἐστι· συμβεβηκὸς δὲ τὸ ποσόν. Ὁ δὲ Θεὸς οὐκ ἔστι συμβεβηκός.

Ἀπεκρίθην αὐτῷ, ὅτι μάλιστα καὶ κυρίως ὁ Θεός ἐστιν ἄπειρος· τὸ δὲ ποσόν, οὐ κυρίως. Τὸ μὲν γὰρ ποσὸν ἄπειρον λέγεται κατὰ δύναμιν μόνον, οἷον αὐξητὸν μὲν ἐπ' ἄπειρον ὁ ἀριθμός, διαιρετὸν δὲ ἐπ' ἄπειρον τὸ συνεχές, ὡς δύναμιν ἔχον δηλονότι τοῦ ἐπ' ἄπειρον αὔξειν ἢ διαιρεῖσθαι, κἂν μὴ δύναιτό τις ἐπ' ἄπειρον αὔξειν ἐνεργείᾳ τὸν ἀριθμὸν ἢ τὸ συνεχὲς διαιρεῖν. Ὁ δὲ Θεὸς ἐνεργείᾳ ἐστὶν ἄπειρος, ὡς εἴρηται, οὐσίᾳ καὶ παρουσίᾳ καὶ δυνάμει.

Εἶπεν αὖ ἐκεῖνος· Τὸ ἄπειρον στερητικόν ἐστιν ὄνομα καὶ οὐδὲν τίθησιν, ὥσπερ οὐδὲ ἡ ἀπόφασις. Πῶς οὖν λέγεις κυρίως ἄπειρον εἶναι τὸν Θεὸν καὶ πῶς ἐξαίρεις αὐτὸν τοιούτῳ ὀνόματι;

Ἀπεκρίθην πρὸς τοῦτο· Ἐπὶ μὲν τῶν ἄλλων, ἃ τοῦ Θεοῦ εἰσιν ἔργα, ἔχει χώραν ὃ φῄς, καίτοι διαφέρει τῆς ἀποφάσεως ἡ στέρησις καὶ ἐν τῷ

---

9 *πεπεραςμένη* B

μὴ τιθέναι· ἐπὶ δὲ τοῦ Θεοῦ, οὐχί. Τοὐναντίον μὲν οὖν τὰ στερητικὰ ὀνόματα καὶ αἱ ἀποφάσεις ἐνίοτε προσήκουσι μάλιστα τῷ Θεῷ· ὅταν γὰρ λέγωμεν αὐτὸν εἶναι, οὐδὲν καινὸν λέγομεν οὐδὲ μέγα· καὶ σὲ γὰρ εἶναι φαμέν. Ὅτι δὲ εἶπεν ὁ Θεὸς περὶ ἑαυτοῦ· „Ἐγὼ εἰμὶ ὁ ὤν", ἄλλης τοῦτο θεωρίας ἐστίν. Ὡσαύτως καὶ ἀγαθὸν αὐτὸν καλοῦντες, οὐδὲν καινὸν λέγομεν· καὶ τοῖς ἔργοις γὰρ αὐτοῦ αὐτὸς ἐπέθηκε τὸ τῆς ἀγαθότητος ὄνομα, εἰπών· „Ἰδοὺ πάντα καλὰ λίαν". Ἀλλ' ὅταν ἐξαιρῶμεν αὐτὸν τῶν κτισμάτων αὐτοῦ, τότε τίθεμέν τι προσῆκον αὐτῷ, ὥσπερ ὅταν ἄναρχον αὐτὸν λέγωμεν· χωρίζομεν γὰρ τότε πάντων τῶν ὄντων ὡς ἠργμένων· καὶ ἄπειρον καλοῦντες, πάντων ὁμοίως χωρίζομεν ὡς πεπερασμένων. Ὁπόταν τοίνυν πᾶσι τοῖς στερητικοῖς ὀνόμασι τοῖς τοιούτοις ἐξαιρῶμεν αὐτὸν πάντων τῶν ὄντων, τότε αὐτὸν ἐξαίρομεν· καταλείπεται γὰρ ἐν τῇ ἡμῶν διανοίᾳ τὰ καταφατικῶς περὶ αὐτοῦ λεγόμενα μετὰ τοῦ τιθέναι τι f. 267v | τῷ Θεῷ πρέπον ἐν τῇ πρὸς τὰ ὄντα πάντα ὑπεροχῇ, εἰ καὶ οὕτως οὐδὲν ἧττον ἀκατάληπτος ἡμῖν ἐστιν ἡ περὶ τῶν θείων ἀλήθεια διὰ τὴν ἀσύγκριτον πρὸς πάντα ὑπεροχήν.

10. Ἀλλ' ἐῶμεν, ἔφη, τὸν περὶ ἀπείρου λόγον, ἐκεῖνος. Ὅτι δὲ ἀδύνατον θεότητα καὶ ἀνθρωπότητα ὁμοῦ συνελθεῖν ἐν ὑποκειμένῳ ἑνί, τὰ οὕτω πάντη διεστηκότα, δείξω σοι νῦν· ἐπὶ δὲ Χριστοῦ γυμναστέον τὸν λόγον, περὶ οὗ καὶ ἡ πρόθεσις ἡμῖν. Εἰ συνῆλθεν ἐν Χριστῷ θεότης καὶ ἀνθρωπότης, ἓν τῶν τριῶν ἐστιν· ἢ ἡ θεότης εἰς τὴν ἀνθρωπότητα μετεβλήθη, ἢ ἡ ἀνθρωπότης εἰς τὴν θεότητα, ἢ συνεκράθησαν ἄμφω. Ἀλλ' οὐδὲν τῶν τριῶν τούτων δυνατόν· ὥστε καὶ τὸ συνελθεῖν ὅλως ἐν τῷ Χριστῷ ἀδύνατόν ἐστι διὰ ταῦτα. Οὐκοῦν ἀδύνατον αὐτὸν ὁμοῦ Θεὸν καὶ ἄνθρωπον εἶναι, ὡς ὑμεῖς δοξάζετε. Τί φῂς πρὸς ταῦτα;

Εἶπον ἐγώ· Κινδυνεύει νῦν τὸ ἀνθρώπειον ἀπόλλυσθαι χρῆμα τῇ τοιαύτῃ σου σοφίᾳ· ὁ γὰρ ἄνθρωπος δῆλον ὅτι ψυχὴ καὶ σῶμά ἐστι. καὶ ἔστιν ἡ μὲν ψυχὴ ἄϋλος καὶ ἀσώματος καὶ ἁπλῆ καὶ νοερά, καὶ διὰ τοῦτο χωριστὴ τοῦ σώματος καὶ ἀθάνατος· τὸ δὲ σῶμα, σύνθετόν τε καὶ ὑλικόν, καὶ διὰ ταῦτα θνητόν. Ἢ τοίνυν ἡ ψυχὴ μεταβάλλεται εἰς τὸ σῶμα, ἢ τὰ σῶμα εἰς τὴν ψυχήν, ἢ συγκιρνῶνται ἀλλήλοις. Τούτων δὲ ἕκαστον προδήλως ἀδύνατον. Οὐκοῦν οὐκ ἔστιν ἀληθὲς τὸ τὸν ἄνθρωπον ἐκ ψυχῆς εἶναι καὶ σώματος· εἰ δὲ τοῦτό ἐστιν ἄνθρωπος, ψυχὴ δηλονότι καὶ σῶμα, οὐδὲ ἄνθρωπος ὅλως ἔστι διά γε τὸν σὸν λόγον. Τὸ δ' αἴτιον ἦν, ὅτι μὴ μέχρι τῶν τριῶν τρόπων ὁ τῆς ἑνώσεως ἵσταται λόγος ἢ συναφείας, ἀλλὰ καὶ τέταρτός ἐστι περαιτέρω. Καὶ ἄλλοι δέ εἰσιν ὑπὲρ τούτους τρόποι

---

2 ἐνίοτε en marge B, om A 4 Exod. 3, 14 7 Gen. 1, 25

ἑνώσεως, καίτοι τὸ μεταβληθῆναι θάτερον εἰς τὸ λοιπὸν ἢ συγκραθῆναι οὐδ' ἕνωσις κυρίως ἐστίν· ἑνοῦνται δὲ ἀληθῶς τὰ τὴν οἰκείαν καὶ μετὰ τὸ ἑνωθῆναι καὶ συνελθεῖν σῴζοντα φύσιν, ὥστε ἑκατέρῳ τῶν οὕτως ἑνουμένων τὸν οἰκεῖον περισῴζεσθαι λόγον. Οὕτως ἡ ψυχὴ καὶ τὸ σῶμα ἑνοῦνται ἐν τῷ ἀνθρώπῳ καὶ εἷς ἄνθρωπος ἐξ ἀμφοῖν γίνεται· καὶ ἡ τοιαύτη ἕνωσις ὑποστατικὴ λέγεται ἢ ἀτομική· συνέρχονται γὰρ ἡ ψυχὴ καὶ τὸ σῶμα εἰς μίαν ὑπόστασιν καὶ ἓν ἄτομον ἀμεταβλήτως, τῆς μὲν ψυχῆς πρὸς τὸ σῶμα τάξιν ἐχούσης εἴδους τε καὶ κινοῦντος, τοῦ δὲ σώματος πρὸς τὴν ψυχήν, ὕλης τε καὶ ὀργάνου. Τί δεῖ τοίνυν ἀπορεῖν περὶ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ὅπως ἐν αὐτῷ συνῆλθον θεότης καὶ ἀνθρωπότης, ἐν τοῖς οἰκείοις μένουσαι φυσικῶς γνωρίσμασιν ἄμφω; Καὶ ὁ τὴν ψυχὴν τῷ σώματι συνάπτων ἐν ἀνθρώπῳ ἑνὶ ἀσυγχύτως, πῶς οὐκ ἂν ἠδύνατο, ὑπερφυέστερον μὲν ἀλλ' εὐλόγως | καὶ τὸ μέγα τοῦτο τῆς ἐνανθρωπίσεως αὐτοῦ f.
μυστήριον; Μέγα μὲν γὰρ καὶ τίνος οὐ μεῖζον εἰς θαύματος λόγον τὸ τὸν δημιουργὸν ἡμῶν ἀνασχέσθαι τοιαύτης συγκαταβάσεως δι' ὑπερβολὴν εὐσπλαγχνίας καὶ ἀγαθότητος· οὔτε δὲ ἀδύνατον, οὔτ' ἐναντίον τῷ λόγῳ. Διὸ θαυμάζομέν τε αὐτὸ μετὰ πίστεως καὶ πιστεύομεν μετὰ θαύματος.

11. Τότε πάλιν ὁ μέγας τὸν λόγον ἀναλαβών· Εἴρηκας, εἶπεν, ἐν ἀρχῇ, ὅπως ἔχετε δεικνύναι τὸ ὑμέτερον περὶ τοῦ Χριστοῦ δόγμα καὶ ἀναγκαῖον εἶναι. Δεῖξον οὖν ἡμῖν, πῶς ἐστιν ἀναγκαῖον, καὶ τίς ἡ ἀνάγκη.

Ὁ περὶ τούτου λόγος, εἶπον, ὦ κύριέ μου, εὐρύς ἐστι καὶ πλείονος δεόμενος χρόνου· ἀλλὰ νῦν βραχύ τι καὶ τῷ καιρῷ προσῆκον ἐρῶ. Ἦν μὲν ἀναγκαῖον τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον τὴν ἀνθρωπίνην προσλαβεῖν φύσιν καὶ διὰ τὸ ἀνάγκην εἶναι τὰ θεόθεν προηγορευμένα, ὡς ἔφθημεν εἰπόντες, καὶ εἰς ἔργον ἐκβῆναι· μάλιστα δὲ ἀναγκαῖον ἦν, ὡς ἀναγκαίως ἀκολουθοῦν τῇ ἀγαθότητι τοῦ Θεοῦ. Διὸ καὶ προηγορεύθη ὡς προωρισμένον τε καὶ ἀναγκαίως τελεσθησόμενον· γενέσθαι μὲν γὰρ ἐκ τοῦ μὴ ὄντος τὴν ἀνθρωπίνην φύσιν οὐκ ἦν ἀνάγκη τοσαύτη· οὐ γὰρ τῷ λόγῳ τῆς φύσεως ἐποίει τὸν ἄνθρωπον ὁ Θεὸς οὐδ' ἄλλον αὐτὸν ἐποίει Θεόν, ἀλλὰ τῷ λόγῳ τῆς ἀγαθοτάτης αὐτοῦ θελήσεως. Ὅθεν οὐδὲ ἀϊδίως αὐτὸν ἐποίει, ἀλλ' ὅτε μόνον ἠθέλησεν, εἰ καὶ τῇ ἀποβλέψει τῆς ἀϊδίου γνώσεως ἐν τῷ Θεῷ ἀνάγκη ἦν γενέσθαι τὸν ἄνθρωπον ὡς ἀϊδίως προωρισμένον, εἰ καὶ χρονικῶς ποτὲ γέγονεν. Ἀναπλασθῆναι δὲ πολλῷ μᾶλλον ἀναγκαῖον ἦν ἢ πλασθῆναι, καὶ βελτιωθῆναι μᾶλλον ἀχρειωθέντα οἴκοθεν ἢ τὴν ἀρχὴν ὑποστῆναι· τὸ γὰρ τοῦ οἰκείου τέλους ἀϊδίως στερηθῆναι τὸν ἄν-

---

9 *τοῦ Χριστοῦ* A

θρωπον ἐκ πονηρίας, δι' ὃ καὶ γέγονε, καὶ τέλους οὕτως ὑπερφυοῦς, εἰκῇ γενέσθαι ἦν· τούτου δὲ βέλτιον ἂν ἦν αὐτῷ τὸ μηδὲ γενέσθαι ὅλως· ὥστε μάτην ἂν ἐγίνετο ἄνθρωπος, καὶ οὐκ αὐτὸς μόνον, ἀλλὰ καὶ ὅσα χάριν αὐτοῦ γέγονεν, εἰ μέχρι τέλους ἐγκατελείπετο. Καὶ τῇ μὲν θείᾳ δικαιοσύνῃ οὐκ ἂν ἦν ἐναντίον τὸ μέχρι τέλους ἐγκαταλείπειν· τῇ θείᾳ δ' ἦν ἀνοίκειον ἀγαθότητι περιϊδεῖν τὴν ἀνθρωπίνην φύσιν ἅπασαν εὐθὺς ἀπὸ τῶν πρώτων σπερμάτων μέχρι καὶ τοῦ τέλους τῆς γενέσεως εἰκῇ γενομένην, καὶ τοῦ μὲν ἐν οὐρανοῖς τέλους, δι' ὃ καὶ γέγονεν, ἔκπτωτον, ἀθλιότησι δὲ ἀπείροις ἐν τῷ ᾅδῃ συνοῦσαν. Ἔδει τοίνυν ποτὲ τὸ ἔλεος συναντῆσαι τῇ ἀληθείᾳ, καὶ τὴν εἰρήνην, τὸν τῆς θείας εὐμενείας καρπόν, ὑπὸ τῆς
f. 268v δικαιοσύνης ἀσπασθῆναι | καὶ καταφιληθῆναι, καθά φησιν ὁ Δαυίδ. Ἄλλως τε καὶ τὸ τῆς ἀνθρωπίνης φύσεως πτῶμα οὐχ ἅπαν οἴκοθεν ἦν, ἀλλὰ καὶ ἡ πονηρὰ καὶ ἀποστάτις τοῦ Θεοῦ συνήργησε φύσις, καὶ ἔχαιρε διὰ τοῦτο τῇ τῶν ἀνθρώπων ἀποστασίᾳ. Οἰκεῖον ἂν οὖν ἦν ἐνταῦθα μετὰ τῆς εἰς τὸ πλάσμα φιλανθρωπίας τοῦ Θεοῦ καὶ τὴν αὐτοῦ δικαιοσύνην ἐνεργὸν ὁμοῦ γίνεσθαι, καὶ ὥσπερ ἐκόλασε δικαίως ἄχρι καιροῦ τοὺς τῷ πονηρῷ χρησαμένους συμβούλῳ ἀντὶ τοῦ ἀγαθοῦ πατρὸς καὶ δεσπότου, οὕτω καὶ τὸν αἴτιον αὐτοῖς τῶν κακῶν ἁπάντων γεγενημένον καὶ τὴν αὐτοῦ συναυλίαν ἅπασαν καταστρέψαι καὶ δίκας τῆς τοσαύτης ἀναιδείας μετὰ πολλῆς προσθήκης εἰσπράξασθαι· ἀδύνατον δὲ ἦν ἄλλως τὴν ἀνθρωπείαν φύσιν τηλικούτων εὐεργετημάτων τυχεῖν, ἀναπλασθῆναί τε καὶ πρὸς τὴν θείαν αὖθις ἀγάπην ἐπανελθεῖν, τῆς ἀπιστίας καὶ πονηρίας ἀπαλλαγεῖσαν, ὑφ' αἷς τὸν πρόσθεν ἤνυε χρόνον, μὴ τοῦ Θεοῦ τὴν παράδοξον μέν, ἀληθεστάτην δὲ οἰκονομίαν ταύτην ποιήσαντος. Πρὸς τὸ βεβαιῶσαι τοίνυν τὴν τοιαύτην ἀνάγκην, δεῖ προϋποθέσθαι τὰ ἐν τῇ βίβλῳ τῆς Γενέσεως ἱστορημένα Μωσεῖ, ὡς θεόθεν ἀποκαλυφθέντα αὐτῷ· ἔτι τὴν ἄλλην τοῦ Θεοῦ περὶ τὸ ἀνθρώπινον γένος πρόνοιαν ἐκ πολλῆς εὐσπλαγχνίας, καὶ μετὰ τὴν δεινοτάτην αὐτῶν ἀποστασίαν ἀπὸ Θεοῦ, ἣ τῇ παραβάσει τῶν πρώτων σπερμάτων ἀκολουθήσασα τῷ χρόνῳ ἐπέδωκεν. Ὁ δὲ Θεὸς ἠνείχετό τε πατρικῶς καὶ τῆς αὐτῶν οὐκ ἠμέλει παιδαγωγίας. Ἔτι δεῖ προϋποθέσθαι τὴν τῆς θείας δικαιοσύνης τε καὶ ἀγαθότητος συνδρομήν, καὶ ὡς οὐκ ἂν οἷόν τε ἦν τὴν ἀνθρωπίνην φύσιν ἅπασαν τῶν δεσμῶν ἀπολύεσθαι τῆς προγονικῆς ἁμαρτίας διὰ τῆς ἀγαθότητος τοῦ Θεοῦ, μὴ καὶ δίκην ἀποδοῦσαν τῇ θείᾳ δικαιοσύνῃ πᾶσαν ὁμοῦ. Τῶν τοιούτων τοίνυν προϋποτεθειμένων, ῥᾷστόν ἐστι τὴν ἀνάγκην τῆς θείας οἰκονομίας ταύτης κατανοεῖν· καὶ ἡμεῖς ἐν ἰδίοις συγγράμμασι δείκνυμεν ταύτην ἐξ

---

8 *καὶ* devant *γέγονεν* om A   9 Ps. 84, 11-12

οἰκείων ἀρχῶν. Ἐπειδὰν οὖν κελεύῃς, ἕν τι τῶν συγγραμμάτων ἐκείνων, ἀρραβικῶς ἑρμηνευθῆναι προστάξας, ὄψει πλατύτερον.

12. Ἀλλὰ τοῦτο μέν, ἔφη, τό γε νῦν ἔχον παρείσθω· ἦλθε δὲ εἰς τὰς ἡμῶν ἀκοάς, ὅπως ἐνώπιον τοῦ κρατοῦντος ἠρωτήθης ὑπὸ τῶν παρόντων ἐκεῖ τότε σοφῶν ἡμετέρων, διὰ τί μὴ δι' ἀνθρώπου ἡγιασμένου ἢ ἀγγέλου σάρκα προσλαβόντος τὴν τοιαύτην οἰκονομίαν ἐποίησεν ὁ Θεός, ἀλλ' ἀμέσως δι' ἑαυτοῦ ἐνανθρωπίσαντος, | ὡς ὑμεῖς δοξάζετε, καὶ διὰ τί μετὰ τοσούτων f. 269 ἐτῶν παρέλευσιν ἐποίησε, καὶ μὴ πρότερον, καὶ διὰ τί μὴ μετὰ τῆς θεϊκῆς φανερῶς ἦλθε δόξης, ὡς λέγετε αὐτὸν ἥξειν ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ (Ἔμελλον γὰρ οὕτω πάντες ἄνθρωποι πιστεύειν αὐτῷ), καὶ διὰ τί μὴ νόμον ἔδωκεν ἐλαφρότερον, ἀλλ' οὕτω δυσκατόρθωτον, ὡς καὶ ὑμᾶς τοὺς Θεὸν αὐτὸν ὁμολογοῦντας, πλὴν ὀλίγων πάνυ, παραβαίνοντας ἁμαρτάνειν, καὶ ἀντὶ σωτηρίας, κολάσεως αἰωνίου τὴν οἰκονομίαν ἐκείνην αἰτίαν εἶναι λοιπόν, καὶ πλείους εἶναι τοὺς βλαπτομένους ἢ τοὺς ὠφελουμένους. Ἀληθὲς οὖν ἐστιν, ὡς ἠρωτήθης τότε περὶ τῶν τοιούτων;

Ἠρωτήθην, εἶπον ἐγώ, οὐ περὶ τούτων μόνων, ἀλλὰ καὶ περὶ πολλῶν ἄλλων ἀνηκόντων εἰς τὴν περὶ τῆς ἐν τῷ ἑνὶ Θεῷ Τριάδος θεολογίαν καὶ εἰς τὴν οἰκονομίαν τοῦ ἑνὸς τῆς Τριάδος, τοῦ Λόγου καὶ Υἱοῦ τοῦ Θεοῦ· καὶ περὶ πάντων ἀπεκρινάμην ἐν πλάτει καὶ τοὺς ἐρωτήσαντας ἱκανοποίησα.

Οὐκοῦν, ἔφη, καὶ ἡμῖν δὸς τὰς περὶ τούτων ἀπολογίας· μᾶλλον δὲ νῦν μὲν ἄπιθι· πρὸς ἑσπέραν γάρ ἐστιν. Ἄλλοτε δέ σε προσκαλεσόμεθα, καὶ εἰ μὴ νῦν, ἐπειγόμεθα γάρ, ἀλλ' ἐν τῇ ἡμῶν ἐπανόδῳ· καὶ τότε σου περὶ τῶν ζητημάτων τούτων ἀκουσόμεθα καὶ ἄλλων, ὧν ἂν μέλλοιμεν τότε ζητεῖν.

Καὶ οὕτως ἀπηλλάγην τῷ ἐλέει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ φωτίσαντος τὴν καρδίαν ἡμῶν, ὥστε δύνασθαι, πρὸς μὲν τοὺς οἰκείους τῆς πίστεως τὰ θειότερα καὶ ὑψηλότερα λέγειν, τοὺς δὲ ἀμυήτους ἔτι, τοῖς ἁπλουστέροις τε καὶ εὐπαραδεκτοτέροις προσάγεσθαι. Αὐτῷ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν· —